Ὁ δὲ ἱερεὺς ἐκφωνεῖ.

Ἐν πρώτοις μνήσθητι Κύριε τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος), ὃν χάρισαι ταῖς ἁγίαις σου ἐκκλησίαις ἐν εἰρήνῃ, σῶον, ἔντιμον, ὑγιᾶ, μακροημερεύοντα, ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας.

Καὶ ὁ διάκονος λέγει πρὸς τῇ θύρᾳ στάς.

Τοῦ δεῖνος πανιερωτάτου Μητροπολίτου, ἢ Ἐπισκόπου, ὅς τις ἂν ᾖ. Καὶ ὑπὲρ τοῦ προσκομίζοντος τὰ ἅγια δῶρα ταῦτα εὐλαβεστάτου ἱερέως (τοῦδε) καὶ ὑπὲρ σωτηρίας τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, καὶ πάντων, καὶ πασῶν.

Καὶ ὁ χορὸς ψάλλει. Καὶ πάντων, καὶ πασῶν.

Ὁ δὲ ἱερεὺς ἐπεύχεται μυστικῶς.

Μνήσθητι Κύριε πάσης ἐπισκοπῆς ὀρθοδόξων, τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας. Μνήσθητι Κύριε κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου καὶ

ثم يعلن الكاهن

اذكر يارب اولًا رييس كهنتنا فلان وهبه لكنايسك المقدسة بسلام صحيحًا معافًى مكرمًا مديد الايام قاطعًا باستقامة كلمة حقك

والشماس ان يكون واقفاً عند الباب يقول

فلان الكلى القداسة الميتروبوليت او الاسقف الخ حسبما يكون ومن اجل الكاهن الكلى الورع فلان المقدم هذه القرابين المقدسة . ومن اجل خلاص ملوكنا الحسنين العبادة المحفوظين من الله كه بانضون كه باصون

والخورص يرتل

كه بانضون كه باصون

οὐκ ἐμνημονεύσαμεν δι' ἄγνοιαν, ἢ λήθην, ἢ πλῆθος ὀνομάτων, αὐτὸς μνημόνευσον ὁ Θεὸς, ὁ εἰδὼς ἑκάστου τὴν ἡλικίαν, καὶ τὴν προσηγορίαν, ὁ εἰδὼς ἕκαστον ἐκ κοιλίας μητρὸς αὐτοῦ· σὺ γὰρ εἶ, Κύριε, ἡ βοήθεια τῶν ἀβοηθήτων, ἡ ἐλπὶς τῶν ἀπελπισμένων, τῶν χειμαζομένων Σωτὴρ, ὁ τῶν πλεόντων λιμὴν, ὁ τῶν νοσούντων ἰατρός· αὐτὸς τοῖς πᾶσι τὰ πάντα γενοῦ, ὁ εἰδὼς ἕκαστον, καὶ τὰ αἰτήματα αὐτοῦ, οἶκον, καὶ τὴν χρείαν αὐτοῦ· ῥῦσαι Κύριε τὴν πόλιν ταύτην, καὶ πᾶσαν πόλιν καὶ χώραν, ἀπὸ λιμοῦ, λοιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρὸς, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, καὶ ἐμφυλίου πολέμου.

Ὁ μὲν διάκονος ἐπιστρέφει πρὸς τὴν θύραν τοῦ ἁγίου βήματος, κρατῶν τὸ ὠράριον ἄκροις τοῖς δακτύλοις, καὶ λέγει.

Καὶ πάντων, καὶ πασῶν.

Ὁ δὲ χορὸς ψάλλει.

Καὶ πάντων, καὶ πασῶν.

النسيان . او لكثرة الاسماء . فاذكرهم انت ياالله العارف سن كل احد ومدعاه . والعالم بكل واحد من جوف امه . لانك انت يارب معونة لمن لا معونة لهم . ورجاء للمويسين . انت المخلص المناهزين الغرق . والمينا للسايرين فى البحر . والطبيب للمرضى . فكن كلًا للكل انت العارف كل احد ووسيلته ومنزله واحتياجه . ثم نج يارب هذه المدينة وكل المدن والقرى من الجوع . والفنا . والزلازل . والغريق . والحريق . والسيف . ومن هجوم القبايل الغريبه ومن الحرب الجنسية .

واما الشماس فيلتفت نحو باب الهيكل المقدس ضابطاً الزنار باطراف اصابعه قايلًا

كه بانضون كه باصون

والخورص يرتل

كه بانضون كه باصون

τὰ νήπια ἔκθρεψον· τὴν νεότητα παιδαγώγησον· τοὺς ἐσκορπισμένους ἐπισυνάγαγε· τοὺς πεπλανημένους ἐπανάγαγε, καὶ σύναψον τῇ ἁγίᾳ σου καθολικῇ, καὶ ἀποστολικῇ ἐκκλησίᾳ τοὺς ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρτων ἐλευθέρωσον· τοῖς πλέουσι σύμπλευσον· τοῖς ὁδοιποροῦσι συνόδευσον· χηρῶν πρόστηθι· ὀρφανῶν ὑπεράσπισον· αἰχμαλώτους ῥῦσαι· νοσοῦντας ἴασαι· τῶν ἐν βήμασι καὶ μετάλλοις, καὶ ἐξορίαις, καὶ πικραῖς δουλείαις, καὶ πάσῃ θλίψει, καὶ ἀνάγκῃ, καὶ περιστάσει ὄντων, μνημόνευσον ὁ Θεὸς, καὶ πάντων τῶν δεομένων τῆς μεγάλης σου εὐσπλαγχνίας, καὶ τῶν ἀγαπώντων ἡμᾶς καὶ τῶν μισούντων, καὶ τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν, καὶ παντὸς τοῦ λαοῦ σου. Μνήσθητι Κύριε ὁ Θεὸς ἡμῶν, καὶ ἐπὶ πάντας ἔκχεον τὸ πλούσιόν σου ἔλεος, πᾶσι παρέχων τὰ πρὸς σωτηρίαν αἰτήματα· καὶ ὧν ἡμεῖς

اضبط الشيوخ . عزّ صغيري الانفس . اجمع المتفرقين رد الضالين . واتحدهم بكنيستك الجامعة المقدسة الرسولية . اعتق الموذين من الارواح النجسة . اصحب السايرين فى السفن . رافق المسافرين فى الطرقات . اعتنِ بالارامل . اعضد الايتام . انقذ المسبين . اشفِ المرضى . اذكر يااللّه المخصومين فى المحاكم . والمنفين . والذين هم فى العبوديات المرة . وجميع الكاينين فى الشدة والحزن والضيقة . وساير المتضرعين الى حنوك العظيم . والمحبين ايانا ومبغضينا . والذين اوصونا نحن الغير المستحقين بان نصلى من اجلهم ومن اجل شعبك كافةً . اذكرهم الهنا الرب الهنا . وافض على الجميع غنى رحمتك . مانحاً الكل الطلبات المتجهة نحو الخلاص . والذين نحن لم نذكرهم . اما لعدم المعرفة بهم . او لاجل

χίονα· ὕψωσον αὐτῶν τὴν δεξιάν· κράτυνον αὐτῶν τὴν βασιλείαν· ὑπόταξον αὐτοῖς πάντα τὰ βάρβαρα ἔθνη τὰ τοὺς πολέμους θέλοντα· χάρισαι αὐτοῖς βαθεῖαν, καὶ ἀναφαίρετον εἰρήνην· λάλησον εἰς τὴν καρδίαν αὐτῶν ἀγαθὰ ὑπὲρ τῆς ἐκκλησίας σου καὶ παντὸς τοῦ λαοῦ σου· ἵνα ἐν τῇ γαλήνῃ αὐτῶν ἤρεμον, καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ, καὶ σεμνότητι· Μνήσθητι Κύριε πάσης ἀρχῆς καὶ ἐξουσίας, καὶ τῶν ἐν τῷ παλατίῳ ἀδελφῶν ἡμῶν, καὶ παντὸς τοῦ στρατοπέδου· τοὺς ἀγαθοὺς ἐν τῇ ἀγαθότητί σου διατήρησον· τοὺς πονηροὺς, ἀγαθοὺς ποίησον ἐν τῇ χρηστότητί σου. Μνήσθητι Κύριε τοῦ περιεστῶτος λαοῦ, καὶ τῶν δι' εὐλόγους αἰτίας ἀπολειφθέντων, καὶ ἐλέησον αὐτοὺς, καὶ ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου· τὰ ταμεῖα αὐτῶν ἔμπλησον παντὸς ἀγαθοῦ, τὰς συζυγίας αὐτῶν ἐν εἰρήνῃ, καὶ ὁμονοίᾳ διατήρησον·

بعدلٍ بان يتملكوا على الارض . تُوجهم بسلاح الحق . كللهم بسلاح المسرة . ظلل روسهم في يوم القتال . قوينّ ذراعهم . ارفع يمينهم . شدد تملكهم . اخضع لهم جميع الامم البربرية الذين يريدون القتال . انعم عليهم بالسلام الوطيد الفاقد الانتزاع . اهجس الصالحات في قلوبهم من اجل كنيستك وشعبك كافة . لكي نجيز في هدوهم عمراً مستكناً هادياً بكل نقاوة وحسن عبادة . اذكر يارب كل رياسة وسلطان . واخوتنا الذين هم في البلاط وكل مصاف الجنود . ثمّ احفظ الصالحين بصلاحك . وصير الاشرار صلحا بخيريتك . اذكر يارب الشعب الحاضر معنا والمهملين لاجل علة ممدوحة . وارحمهم وايانا ككثرة رحمتك . املا خزاينهم من كل خير . احفظ اتحادهم بالزيجة بسلام واتفاق . عل الاطفال . هذّب الاحداث .

αἰῶνος. Μνήσθητι Κύριε τῶν τὰ δῶρά σοι ταῦτα προσκομισάντων, καὶ ὑπὲρ ὧν, καὶ δι᾽ ὧν, καὶ ἐφ᾽ οἷς αὐτὰ προσεκόμισαν. Μνήσθητι Κύριε τῶν καρποφορούντων, καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου ἐκκλησίαις, καὶ μεμνημένων τῶν πενήτων· ἄμειψαι αὐτοὺς τοῖς πλουσίοις σου, καὶ ἐπουρανίοις χαρίσμασι· χάρισαι αὐτοῖς ἀντὶ τῶν ἐπιγείων, τὰ ἐπουράνια· ἀντὶ τῶν προσκαίρων, τὰ αἰώνια· ἀντὶ τῶν φθαρτῶν, τὰ ἄφθαρτα. Μνήσθητι Κύριε τῶν ἐν ἐρημίαις, καὶ ὄρεσι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς. Μνήσθητι Κύριε τῶν ἐν παρθενίᾳ, καὶ εὐλαβείᾳ, καὶ ἀσκήσει, καὶ σεμνῇ πολιτείᾳ διαγόντων. Μνήσθητι Κύριε τῶν εὐσεβεστάτων, καὶ πιστοτάτων ἡμῶν βασιλέων, οὓς ἐδικαίωσας βασιλεύειν ἐπὶ τῆς γῆς· ὅπλῳ ἀληθείας, ὅπλῳ εὐδοκίας στεφάνωσον αὐτούς· ἐπισκίασον ἐπὶ τὴν κεφαλὴν αὐτῶν ἐν ἡμέρᾳ πολέμου· ἐνίσχυσον αὐτῶν τὸν βρα-

فاذكر يارب كنيستك الجامعة المقدسة الرسولية . التى هى من اقاصى المسكونة الى اقاصيها . التى اقتنتها بدم مسيحك الكريم . فخولها السلام . وثبت هذا البيت المقدس الى انقضا الدهر . اذكر يارب الذين قدموا لك هذه القرابين . والذين قُدمت من اجلهم وعنهم وبواسطتهم . اذكر يارب المقدمين الاثمار والصانعين الاحسان فى كنايسك المقدسة . والذين يتعاهدون المساكين . وعوضهم بغنى انعامك السموية . وهبهم عوض الارضيات السمويات . وبدل الوقتيات الابديات . وعوض الفانيات الغير الفاسدات . اذكر يارب الذين فى القفار والجبال والمغاير ولغوم الارض . اذكر يارب المجتازين عمرهم فى البتولية والرياضة والعبادة الحسنة والسيرة المحتشمة . اذكر يارب ملوكنا المومنين الحسنين العبادة . الذين قد حكمت

μένων ἐπ᾽ ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου.

Ἐνταῦθα ὁ ἱερεὺς μνημονεύει ὧν θέλει ζώντων, καὶ τεθνεώτων· καὶ ὑπὲρ μὲν ζώντων λέγει.

Ὑπὲρ σωτηρίας, ἐπισκέψεως, ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ δούλου τοῦ Θεοῦ· (τοῦ δεῖνος.)

Ὑπὲρ δὲ τεθνεώτων, λέγει.

Ὑπὲρ ἀναπαύσεως, καὶ ἀφέσεως τῆς ψυχῆς τοῦ δούλου σου (τοῦ δεῖνος) ἐν τόπῳ φωτεινῷ, ἔνθα ἀπέδρα λύπη, στεναγμὸς, ἀνάπαυσον αὐτὴν ὁ Θεὸς ἡμῶν.

Μυστικῶς τὴν εὐχήν.

Καὶ ἀνάπαυσον αὐτοὺς, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου. Ἔτι σου δεόμεθα, μνήσθητι Κύριε τῆς ἁγίας σου καθολικῆς, καὶ ἀποστολικῆς ἐκκλησίας, τῆς ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης, καὶ εἰρήνευσον αὐτὴν, ἣν περιεποιήσω τῷ τιμίῳ αἵματι τοῦ Χριστοῦ σου· καὶ τὸν ἅγιον οἶκον τοῦτον στερέωσον μέχρι τῆς συντελείας τοῦ

والقديس يوحنا النبي السابق الصابغ . والقديسين المجيدين الرسل الكلي مديحهم . والقديس فلان . الذى نكمل تذكاره . وجميع قديسيك . الذين بطلباتهم افتقدنا ياالله . واذكر جميع المتوفين على رجا قيامة الحيوة الابدية .

هنا يذكر الكاهن من يشاء من الاحيا والاموات . اما من اجل الاحيا

فيقول

من اجل خلاص عبد الله فلان وافتقاده وغفران خطاياه

واما من اجل الموتى فيقول

من اجل مسامحة نفس عبدك فلان وراحتها فى مكان نير. فنيحها ياالله حيث عدم الوجع والتنهد

افشين سرى

فنيحهم حيث يشاهد نور وجهك . ايضاً نتضرع اليك .

ζέσθω· ὁ γὰρ Βασιλεὺς τῶν Βασιλευόντων· καὶ Κύριος τῶν κυριευόντων· προσέρχεται σφαγιασθῆναι· καὶ δοθῆναι εἰς βρῶσιν τοῖς πιστοῖς· προηγοῦνται δὲ τούτου· οἱ χοροὶ τῶν Ἀρχαγγέλων· μετὰ πάσης ἀρχῆς· καὶ ἐξουσίας· τὰ πολυόμματα Χερουβὶμ· καὶ τὰ ἑξαπτέρυγα Σεραφὶμ· τὰς ὄψεις καλύπτοντα· καὶ βοῶντα τὸν ὕμνον· ἀλληλούϊα· ἀλληλούϊα. ἀλληλούϊα.

Ὁ διάκονος θυμιᾷ γύρωθεν τὴν ἁγίαν τράπεζαν, καὶ τὰ δίπτυχα· τῶν τε ζώντων καὶ κεκοιμημένων. ὧν βούλεται, μνημονεύει.

Ὁ δὲ ἱερεὺς εὔχεται μυστικῶς.

Τοῦ ἁγίου Ἰωάννου τοῦ προφήτου προδρόμου, καὶ Βαπτιστοῦ, τῶν ἁγίων ἐνδόξων, καὶ πανευφήμων Ἀποστόλων, τοῦ ἁγίου (τοῦ δεῖνος), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν ἁγίων σου, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ Θεός· καὶ μνήσθητι πάντων τῶν προκεκοιμη-

اعطيك قبلة مثل يوضس . لكن كاللص اعترف لك . اذكرني يارب اذا ما اتيت في ملكوتك .

واذا كان السبت العظيم فترتل هذه الطروبارية باللحن الاول

فليصمت كل ذي لحم بشري . وليكن بخوف ورعدة ولا يهجس بذاته في شي ارضي . لان ملك الملوك . وسيد السادات . متجه ليُذبح ويعطى طعاماً الى المومنين .

اي تتقدمه اجواق روساء الملايكة مع السلاطين والقوات كافة . الشاروبيم الكثيروا الاعين . والسيرافيم ذووا الستة اجنحة . المغطون الاوجه . والمرتلون التسبحة صارخين . الليلويا . الليلويا . الليلويا .

والشماس يبخر حول المايدة المقدسة ويذكر ذبتيخا الاحيا والاموات الذين يريدهم والكاهن يصلي سراً

῾Ομολογητῶν, Διδασκάλων, καὶ παντὸς Πνεύματος δικαίου ἐν πίστει τετελειωμένου.

Ἐκφώνως.

Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας.

῾Ο χορὸς ψάλλει.

Ἐπὶ σοὶ χαίρει.

Εἰδέ ἐστιν ἡ μεγάλη πέμπτη. ψάλλει. ἦχος, πλ΄. β΄.

Τοῦ δείπνου σου τοῦ μυστικοῦ· σήμερον Υἱὲ Θεοῦ· κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου· τὸ μυστήριον εἴπω· οὐ φίλημά σοι δώσω· καθάπερ ὁ Ἰούδας· ἀλλ᾽ ὡς ὁ λῃστὴς ὁμολογῶ σοι· μνήσθητί μου Κύριε· ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

Εἰδέ ἐστιν τὸ μέγα σάββατον, ψάλλει τοῦτο τὸ παρὸν τροπάριον. ἦχος. πλ΄. α΄.

Σιγησάτω πᾶσα σὰρξ βροτεία· καὶ στήτω μετὰ φόβου καὶ τρόμου· καὶ μηδὲν γήϊνον ἐν ἑαυτῇ λογι-

ولا تجعل ان احداً منا يشترك بجسد مسيحك ودمه الاقدسين . لمحاكمة . او لدينونة . بل لنجد رحمةً ونعمة . مع جميع القديسين الذين ارضوك منذ الدهر . الاجداد . والابا . وروساء الابا . والانبيا . والرسل . والواعظين . والمبشرين والشهدا والمعترفين . والمعلمين . وروح كل صديق توفى على الامانة .

اعلان

خاصةً ذات كل قداسة الطاهرة الفايقة البركات المجيدة سيدتنا والدة الاله الدايمة بكارتها مريم

الخورص يرتل

ان البرايا باسرها تفرح بكِ

اما اذا كان الخميس العظيم فيرتل باللحن الثاني

اجعلني اليوم شريكاً في عشايك السرى ياابن اللّه . لاني لست اقول سرك لاعدايك . ولا

Εὐλόγησον δέσποτα τὰ ἀμφότερα.

Ὁ δὲ ἱερεὺς εὐλογῶν μετὰ τῆς χειρὸς ἀμφότερα τὰ ἅγια, λέγει.

Μεταβαλὼν τῷ Πνεύματί σου τῷ ἁγίῳ. Ὁ διάκονος. Ἀμήν, γ΄. καὶ τὴν κεφαλὴν ὁ διάκονος ὑποκλίνας τῷ ἱερεῖ, καὶ εἰπὼν τό. Μνήσθητί μου ἅγιε δέσποτα τοῦ ἁμαρτωλοῦ. μεθίσταται ἐν ᾧ πρότερον ἵστατο τόπῳ, λαβὼν καὶ τὸ ῥιπίδιον αὖθις ὡς πρότερον.

Ὁ δὲ ἱερεὺς ἐπεύχεται.

Ἡμᾶς δὲ πάντας τοὺς ἐκ τοῦ ἑνὸς ἄρτου, καὶ τοῦ ποτηρίου μετέχοντας, ἑνώσαις ἀλλήλοις εἰς ἑνὸς Πνεύματος ἁγίου κοινωνίαν, καὶ μηδένα ἡμῶν εἰς κρίμα, ἢ εἰς κατάκριμα, ποιήσαις μετασχεῖν τοῦ ἁγίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ σου· ἀλλ᾽ ἵνα εὕρωμεν ἔλεον, καὶ χάριν μετὰ πάντων τῶν ἁγίων τῶν ἀπ᾽ αἰῶνός σοι εὐαρεστησάντων, Προπατόρων, Πατέρων, Πατριαρχῶν, Προφητῶν, Ἀποστόλων, Κηρύκων, Εὐαγγελιστῶν, Μαρτύρων,

الكاهن

المهراق من اجل حيوة العالم

ثم الشماس ايضاً ان يشير بالزنار نحو القدسات كليهما يقول

بارك ياسيد كليهما

والكاهن ان يبارك كليهما بيده يقول معاً

ان انك نقلتهما بروحك القدوس

والشماس يقول ثلث مرات

امين

وان يحنى راسه الى الكاهن ويقول

اذكرني ياسيد انا الخاطى

يمضى الى المكان حيث كان اولًا وياخذ المروحة من جديد كالسابق والكاهن يصلى

فنحن كلنا المشتركين بالخبز الواحد والكاس الواحدة . صيّرنا متحدين بعضنا مع بعض فى شركة الروح القدس الواحد .

Θεὸς, καὶ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Εἶτα τὴν κεφαλὴν ὑποκλίνας ὁ διάκονος, δείκνυσι τῷ ὠραρίῳ τὸν ἅγιον ἄρτον, καὶ λέγει μυστικῶς.

Εὐλόγησον δέσποτα τὸν ἅγιον ἄρτον.

Καὶ ὁ ἱερεὺς ἀνιστάμενος σφραγίζει, γ΄. τὰ ἅγια δῶρα, λέγων μυστικῶς. Τὸν μὲν ἄρτον τοῦτον αὐτὸ τὸ τίμιον σῶμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ὁ διάκονος· Ἀμήν. Καὶ αὖθις ὁ διάκονος· Εὐλόγησον δέσποτα τὸ ἅγιον ποτήριον. Ὁ δὲ ἱερεὺς εὐλογῶν λέγει.

Τὸ δὲ ποτήριον τοῦτο, αὐτὸ τὸ τίμιον αἷμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ὁ διάκονος· Ἀμήν. Ὁ ἱερεύς.

Τὸ ἐκχυθὲν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. Ὁ διάκονος· Ἀμήν.

Καὶ αὖθις ὁ διάκονος δεικνύων μετὰ τοῦ ὠραρίου τὰ ἅγια ἄμφω, λέγει.

قلباً نقياً اخلق فيَّ يااللّٰه وروحاً مستقيماً جدد في احشاي .

ثم ان يحني الشماس راسه يشير بالزنار نحو الخبز المقدس قايلاً سراً

بارك ياسيد الخبز المقدس

والكاهن ان ينتصب يختم المواهب المقدسة ثلثاً قايلاً سراً

اما هذا الخبز فجسد الرب الاله مخلصنا يسوع المسيح المكرم نفسه

والشماس يقول امين

ومن جديد يقول الشماس

بارك ياسيد هذه الكاس المقدسة

والكاهن يقول مباركاً

وما في هذه الكاس فدم الرب الاله مخلصنا يسوع المسيح المكرم نفسه

الشماس امين

μούς σου, οὓς ἐξέχεας πλουσίως ἐφ᾽ ἡμᾶς, θαῤῥοῦντες προσεγγίζομεν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ προσθέντες τὰ ἀντίτυπα τοῦ ἁγίου σώματος, καὶ αἵματος τοῦ Χριστοῦ σου, σοῦ δεόμεθα, καὶ σὲ παρακαλοῦμεν, Ἅγιε ἁγίων, εὐδοκίᾳ τῆς σῆς ἀγαθότητος, ἐλθεῖν τὸ Πνεῦμά σου τὸ Ἅγιον ἐφ᾽ ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα, καὶ εὐλογῆσαι αὐτὰ, καὶ ἁγιάσαι, καὶ ἀναδεῖξαι.

Ὁ διάκονος ἀποτίθησι τὸ ῥιπίδιον, ὅπερ ἐκράτει, ἢ κάλυμμα, καὶ ἔρχεται ἐγγύτερον τῷ ἱερεῖ, καὶ προσκυνοῦσιν ἀμφότεροι τρὶς ἔμπροσθεν τῆς ἁγίας τραπέζης, καὶ εὐχόμενοι καθ᾽ ἑαυτοὺς τὸ, Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. λέγουσι μυστικῶς τρίς Κύριε, ὁ τὸ πανάγιόν σου Πνεῦμα ἐν τῇ τρίτῃ ὥρᾳ τοῖς ἀποστόλοις σου καταπέμψας, τοῦτο ἀγαθὲ μὴ ἀντανέλῃς ἀφ᾽ ἡμῶν. Καὶ τὸ, Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ

التى افضتها علينا بسعة . نتقدم بثقة الى مذبحك المقدس . واذ قد وضعنا رسوم جسده ودمه الاقدسين . فاليك نطلب ومنك نسال ياقدوس القديسين ان ياتى روحك القدوس بمسرة صلاحك علينا وعلى هذه المواهب الموضوعة ويباركها ويقدسها ويوضحها .

الشماس يترك المروحة التى كان ضابطاً اياها او الغطا وياتى قريباً من الكاهن ويسجد اثناهما امام المايدة المقدسة ثلثاً وبعد ان يصليا فى ذاتيهما .

ياالله اغفرلى انا الخاطى

يقولان ثلث مرات سراً

يارب روحك الكلى قدسه الذى ارسلته فى الساعة الثالثة على رسلك فهذا ذاته ايها الصالح لا تنزعه منا .

ثم

σωτηρίων σου παθημάτων, τοῦ ζωοποιοῦ σταυροῦ, τῆς τριημέρου ταφῆς, τῆς ἐκ νεκρῶν ἀναστάσεως, τῆς ἐκ δεξιῶν σου τοῦ Θεοῦ, καὶ Πατρὸς καθέδρας, καὶ τῆς ἐνδόξου καὶ φοβερᾶς αὐτοῦ παρουσίας.

Ἐκφώνως ὁ ἱερεύς.




ὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέροντες, κατὰ πάντα, καὶ διὰ πάντα.

Ὁ χορὸς ψάλλει τό,

Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν Κύριε, καὶ δεόμεθά σου ὁ Θεὸς ἡμῶν.

Ὁ ἱερεὺς κλίνας τὴν κεφαλήν, εὔχεται μυστικῶς.



ιὰ τοῦτο Δέσποτα πανάγιε, καὶ ἡμεῖς οἱ ἁμαρτωλοί, καὶ ἀνάξιοι δοῦλοί σου, οἱ καταξιωθέντες λειτουργεῖν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, οὐ διὰ τὰς δικαιοσύνας ἡμῶν, οὐ γὰρ ἐποιήσαμέν τι ἀγαθὸν ἐπὶ τῆς γῆς, ἀλλὰ διὰ τὰ ἐλέη σου, καὶ τοὺς οἰκτιρ-

الامه الخلاصية . وصلبه المحيي . ودفنه ذا الثلثة ايام . وقيامته من الاموات . وصعوده الى السموات . وجلوسه من عن ميامنك ايها الاله الاب . وحضوره المرهوب المجيد

ويعلن الكاهن


فالتي لك من التي لك مقدمون لك عن كل شي ومن اجل كل شي

الخورس يرتل

نسبحك ونباركك ونشكرك ايها السيد ونتضرع اليك ياالهنا

ثم يحني الكاهن راسه ويصلي سراً

لاجل هذا ايها السيد الكلي قدسه . نحن ايضاً عبيدك الخطاة الغير المستحقين . الذين اهلتنا لخدمة مذبحك المقدس . ليس من اجل برنا . لاننا ما صنعنا شياً من الصلاح على الارض . لكن من اجل مراحمك ورافاتك



Ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, εἰπών.

ΠΙΕΤΕ ΕΞ ΑΥΤΟΥ ΠΑΝΤΕΣ, ΤΟΥΤΟ ΕΣΤΙ ΤΟ ΑΙΜΑ ΜΟΥ, ΤΟ ΤΗΣ ΚΑΙΝΗΣ ΔΙΑΘΗΚΗΣ, ΤΟ ΥΠΕΡ ΥΜΩΝ, ΚΑΙ ΠΟΛΛΩΝ ΕΚΧΥΝΟΜΕΝΟΝ ΕΙΣ ΑΦΕΣΙΝ ΑΜΑΡΤΙΩΝ.

Ὁ χορὸς ψάλλει, ἀμήν.

Ὁ ἱερεὺς κλίνας τὴν κεφαλήν, ἐπεύχεται μυστικῶς.


Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν ἐμὸν θάνατον καταγγέλλετε, τὴν ἀνάστασιν ὁμολογεῖτε. Μεμνημένοι οὖν Δέσποτα καὶ ἡμεῖς τῶν

اعطى تلاميذه الرسل القديسين قايلًا ✝ اشربوا من هذا كلكم . هذا هو دمي العهد الجديد . الذى يهراق عنكم وعن كثيرين لمغفرة الخطايا .

والخورص يرتل امين

والكاهن يحنى راسه ويصلى سراً

هذا اصنعوه لتذكارى . لان كل دفعة تاكلون هذا الخبز وتشربون هذه الكاس . تخبرون بموتى . وتعترفون بقيامتى . فاذاً نحن ايضاً ايها الرب متذكرون



Ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς, καὶ ἀποστόλοις, εἰπών.

ΛΑΒΕΤΕ, ΦΑΓΕΤΕ, ΤΟΥΤΟ ΜΟΥ ΕΣΤΙ ΤΟ ΣΩΜΑ ΤΟ ΥΠΕΡ ΥΜΩΝ ΚΛΩΜΕΝΟΝ ΕΙΣ ΑΦΕΣΙΝ ΑΜΑΡΤΙΩΝ.

Ὁ χορὸς ψάλλει, Ἀμήν.

Τότε ὁ ἱερεὺς, καὶ ὁ διάκονος τὰ αὐτὰ κἀνταῦθα, ὡς ἐν τῇ τοῦ Χρυσοστόμου.

Ὁ ἱερεὺς μυστικῶς.

Ὁμοίως καὶ τὸ ποτήριον ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου λαβὼν, κεράσας, εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας.

Ἐκφώνως ὁ ἱερεὺς τὴν χεῖρα ἔχων ἄνωθεν μετὰ εὐλαβείας, καὶ εὐλογῶν, λέγει.

اعطى تلاميذه الرسل القديسين قايلًا + خذوا فكلوا هذا هو جسدى . الذى يكُسر من اجلكم لمغفرة الخطايا .

والخورص يرتل امين

حينيذ الكاهن والشماس يصنعان الاشيا ذاتها كما فى قداس فم الذهب والكاهن يقول سراً

ومثل ذلك اخذ الكاس من ثمرة الكرمة مازجاً . شاكراً . مباركاً . مقدساً .

ثم يرفع الكاهن يده بجسن عبادة مباركاً ويعلن قايلًا

νετο ἀπαρχὴ τῶν κεκοιμημένων, πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα ᾖ αὐτὸς τὰ πάντα ἐν πᾶσι πρωτεύων· καὶ ἀνελθὼν εἰς τοὺς οὐρανοὺς, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης σου ἐν ὑψηλοῖς, ὃς καὶ ἥξει ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· κατέλιπε δὲ ἡμῖν ὑπομνήματα τοῦ σωτηρίου αὐτοῦ πάθους ταῦτα, ἃ προτεθείκαμεν κατὰ τὰς αὐτοῦ ἐντολάς· μέλλων γὰρ ἐξιέναι ἐπὶ τὸν ἑκούσιον, καὶ ἀοίδιμον, καὶ ζωοποιὸν αὐτοῦ θάνατον, τῇ νυκτὶ ᾗ παρεδίδου ἑαυτὸν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐπὶ τῶν ἁγίων αὐτοῦ, καὶ ἀχράντων χειρῶν, καὶ ἀναδείξας σοὶ τῷ Θεῷ, καὶ Πατρὶ, εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας, κλάσας.

Ὁ ἱερεὺς κλίνει τὴν κεφαλὴν, καὶ αἴρων τὴν δεξιὰν αὐτοῦ μετὰ εὐλαβείας, εὐλογεῖ τὸν ἅγιον ἄρτον, ἐκφώνως λέγων.

ثم صعد الى السموات . وجلس من عن يمين عظمتك فى الاعالى . الذى هو سياتى ايضاً ليجازى كل احد نظير اعماله . وقد ترك لنا تذكرات الامه هذه الخلاصية . التى سبقنا فوضعناها حسب وصاياه . لانه لما ازمع ان يخرج الى موته الطوعى الصانع الحيوة الدايم الذكر . ففى تلك الليلة التى فيها اسلم ذاته من اجل حيوة العالم . اخذ خبزاً بيديه المقدستين الطاهرتين . واظهره لديك ايها الاله الاب . شاكراً . مباركاً . مقدساً . كاسراً .

والكاهن يحنى راسه ويرفع يده اليمين بورع ويبارك الخبز المقدس ويعلن قايلاً

ἀποθνήσκοντες, ζωοποιηθῶσιν ἐν αὐτῷ τῷ Χριστῷ σου· καὶ ἐμπολιτευσάμενος τῷ κόσμῳ τούτῳ, δοὺς προστάγματα σωτηρίας, ἀποστήσας ἡμᾶς τῆς πλάνης τῶν εἰδώλων, προσήγαγε τῇ ἐπιγνώσει σοῦ τοῦ ἀληθινοῦ Θεοῦ, καὶ Πατρὸς, κτησάμενος ἡμᾶς ἑαυτῷ λαὸν περιούσιον, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον· καὶ καθαρίσας ἐν ὕδατι, καὶ ἁγιάσας τῷ Πνεύματι τῷ ἁγίῳ, ἔδωκεν ἑαυτὸν ἀντάλλαγμα τῷ θανάτῳ, ἐν ᾧ κατειχόμεθα πεπραμένοι ὑπὸ τὴν ἁμαρτίαν· καὶ κατελθὼν διὰ τοῦ σταυροῦ εἰς τὸν ᾅδην, ἵνα πληρώσῃ ἑαυτῷ τὰ πάντα, ἔλυσε τὰς ὀδύνας τοῦ θανάτου· καὶ ἀναστὰς τῇ τρίτῃ ἡμέρᾳ, καὶ ὁδοποιήσας πάσῃ σαρκὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν, καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι ὑπὸ τῆς φθορᾶς τὸν ἀρχηγὸν τῆς ζωῆς, ἐγέ-

العالم معطياً اوامر الخلاص . مبعداً ايانا من ضلالة الاوثان . قد اوصلنا الى معرفتك الها الاب الاله الحقيقى . مقتنياً ايانا لذاته شعباً خاصاً . كهنوتاً ملوكياً . امةً مقدسة . واذ طهرنا بالماء . وقدسنا بالروح القدس . قد بذل ذاته عنا للموت الذى كنا مضبوطين فيه . مباعين تحت رق الخطية . ولما انحدر بالصليب الى الجحيم ليتم كل شى بذاته . قد حل اوجاع الموت . وقام لثلثة ايام . وانهج لكل ذى جسد القيامة من بين الاموات . لانه لم يكن ممكناً ان مبدع الحيوة يضبط من الفساد . فصار مقدمةً للراقدين . وبكراً من الاموات . لكى يضبط هو فى كل الاشيا المراتب الاولى .

σεώς σου, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα σοὶ τῷ Θεῷ, καὶ Πατρί· ἀλλὰ Θεὸς ὢν προαιώνιος, ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη, καὶ ἐκ Παρθένου ἁγίας σαρκωθεὶς, ἐκένωσεν ἑαυτὸν μορφὴν δούλου λαβὼν, σύμμορφος γενόμενος τῷ σώματι τῆς ταπεινώσεως ἡμῶν, ἵνα ἡμᾶς συμμόρφους ποιήσῃ τῆς εἰκόνος τῆς δόξης αὐτοῦ. Ἐπειδὴ γὰρ δι' ἀνθρώπου ἡ ἁμαρτία εἰσῆλθεν εἰς τὸν κόσμον, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, εὐδόκησεν ὁ μονογενής σου Υἱὸς, ὁ ὢν ἐν τοῖς κόλποις σου τοῦ Θεοῦ, καὶ Πατρὸς, γενόμενος ἐκ γυναικὸς τῆς ἁγίας Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, γενόμενος ὑπὸ νόμον, κατακρῖναι τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ αὐτοῦ· ἵνα οἱ ἐν τῷ Ἀδὰμ

لم يحتسب مساواته لك اختطافاً ايها الاله الاب . لكن مع انه هو اله كاين قبل الدهور . فقد شوهد على الارض . وتردد مع الناس . اذ انه بتجسده من العذرا القديسة لاشى ذاته اخذاً صورة عبد . وصار صورةً شبيهةً بجسد تواضعنا . ليصيّرنا صورةً شبيهةً بتمثال مجده . ولاجل انه بالانسان دخلت الخطية الى العالم . وبالخطية دخل الموت . فقد ارتضى ابنك الوحيد الكاين فى احضانك ايها الاله الاب بان يولد من امراة . التى هى القديسة والدة الاله الدايمة بكارتها مريم . صايراً تحت الناموس . ليدين الخطية بجسده . حتى ان المايتين بادم يحيون بمسيحك نفسه ولما كان مستسيراً فى هذا

αὐτὸν ἐν τῇ δικαιοκρισίᾳ σου ὁ Θεὸς ἐκ τοῦ παραδείσου εἰς τὸν κόσμον τοῦτον, καὶ ἀπέστρεψας εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθη, οἰκονομῶν αὐτῷ τὴν ἐκ παλιγγενεσίας σωτηρίαν, τὴν ἐν αὐτῷ τῷ Χριστῷ σου· οὐ γὰρ ἀπεστράφης τὸ πλάσμα σου εἰς τέλος, ὃ ἐποίησας ἀγαθὲ, οὐδὲ ἐπελάθου ἔργου χειρῶν σου, ἀλλ᾽ ἐπεσκέψω πολυτρόπως, διὰ σπλάγχνα ἐλέους σου· Προφήτας ἐξαπέστειλας· ἐποίησας δυνάμεις διὰ τῶν ἁγίων σου, τῶν καθ᾽ ἑκάστην γενεὰν εὐαρεστησάντων σοι· ἐλάλησας ἡμῖν διὰ στόματος τῶν δούλων σου τῶν προφητῶν, προκαταγγέλλων ἡμῖν τὴν μέλλουσαν ἔσεσθαι σωτηρίαν· νόμον ἔδωκας εἰς βοήθειαν· ἀγγέλους ἐπέστησας φύλακας. Ὅτε δὲ ἦλθε τὸ πλήρωμα τῶν καιρῶν, ἐλάλησας ἡμῖν ἐν αὐτῷ τῷ Υἱῷ σου, δι᾽ οὗ καὶ τοὺς αἰῶνας ἐποίησας. Ὃς ὢν ἀπαύγασμα τῆς δόξης σου, καὶ χαρακτὴρ τῆς ὑποστά-

خالقه والهه الحقيقى . وخضع للموت من قبل زلاته الخصوصية . فا نفيته ياالله بحكم عدلك من الفردوس الى هذا العالم . واعدته الى الارض التى منها اخذ . مدبراً له خلاصاً بالميلاد الثانى الذى بمسيحك نفسه . لانك لم تطرح الى الانقضا جبلتك التى صنعتها ايها الصالح . ولا تناسيت عمل يديك . بل افتقدته بانواع كثيرة حسب رافات مراحمك . فارسلت انبيا وصنعت قوات بواسطة قديسيك المرضين اياك فى كل جيل . وخاطبتنا بفم عبيدك الانبيا . وسبقت فاخبرتنا بالخلاص العتيد ان يصير . واعطيتنا ناموساً للمعونة . واقمت مليكة حراساً . ولما اتى كمال الازمنة خاطبتنا بابنك نفسه الذى به صنعت الدهور ايضاً . الذى لكونه هو شعاع مجدك وصورة جوهرك . الحامل الكل بكلمة قدرته .

Κἀνταῦθα ὁ διάκονος τὰ αὐτὰ ποιεῖ τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ.

Ἐπεύχεται μυστικῶς ὁ ἱερεύς.

Μετὰ τούτων τῶν μακαρίων δυνάμεων, Δέσποτα φιλάνθρωπε, καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ βοῶμεν, καὶ λέγομεν· ἅγιος εἶ ὡς ἀληθῶς καὶ πανάγιος, καὶ οὐκ ἔστι μέτρον τῇ μεγαλοπρεπείᾳ τῆς ἁγιωσύνης σου, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις σου, ὅτι ἐν δικαιοσύνῃ, καὶ κρίσει ἀληθινῇ πάντα ἐπήγαγες ἡμῖν. Πλάσας γὰρ τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς, καὶ εἰκόνι τῇ σῇ ὁ Θεὸς τιμήσας, τέθεικας αὐτὸν ἐν τῷ παραδείσῳ τῆς τρυφῆς, ἀθανασίαν ζωῆς, καὶ ἀπόλαυσιν αἰωνίων ἀγαθῶν ἐν τῇ τηρήσει τῶν ἐντολῶν σου ἐπαγγειλάμενος αὐτῷ· ἀλλὰ παρακούσαντά σου τοῦ ἀληθινοῦ Θεοῦ, τοῦ κτίσαντος αὐτὸν καὶ τῇ ἀπάτῃ τοῦ ὄφεως ὑπαχθέντα, νεκρωθέντα τε τοῖς οἰκείοις αὐτοῦ παραπτώμασιν, ἐξώρισας

الخورص

قدوس قدوس قدوس . الرب الصباووت السما والارض مملوتان من مجدك اوصنا فى العلا . مبارك الاتى باسم الرب اوصنا فى العلا .

ثم الشماس يصنع كما فى قداس فم الذهب والكاهن يصلى سراً

فمع هولاء القوات الطوباويين ايها السيد المحب البشر . نحن الخطاة ايضاً نهتف ونقول . قدوس انت بالحقيقة وكلى القداسة وليس تقدير لعظم جلال قدسك . وقدوس انت فى جميع اعمالك . لانك بعدل وحكم حق جلبت لنا كل شى . كونك ان جبلت الانسان اخذاً تراباً من الارض . واكرمته بصورتك ياالله . قد وضعته فى فردوس النعيم . موعداً اياه بحيوة عديمة الموت . وبالتمتع بالخيرات الابدية . ان كان هو يحفظ وصاياك . لكنه لما انقاد بخديعة الحية . وعصاك انت

μουμένη σοὶ λατρεύει, καὶ σοὶ τὴν ἀΐδιον ἀναπέμπει δοξολογίαν· ὅτι τὰ σύμπαντα δοῦλα σά. Σὲ γὰρ αἰνοῦσιν Ἄγγελοι, Ἀρχάγγελοι, Θρόνοι, Κυριότητες, Ἀρχαί, Ἐξουσίαι, Δυνάμεις, καὶ τὰ πολυόμματα Χερουβίμ· σοὶ παρίστανται κύκλῳ τὰ Σεραφίμ, ἓξ πτέρυγες τῷ ἑνί, καὶ ἓξ πτέρυγες τῷ ἑνί, καὶ ταῖς μὲν δυσὶ κατακαλύπτουσι τὰ πρόσωπα ἑαυτῶν, ταῖς δὲ δυσὶ τοὺς πόδας, καὶ ταῖς δυσὶ πετόμενα, κέκραγεν ἕτερον πρὸς τὸ ἕτερον ἀκαταπαύστοις στόμασιν, ἀσιγήτοις δοξολογίαις.

Ἐκφώνως ὁ ἱερεύς.

Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα, καὶ λέγοντα.

Ὁ χορός.

Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαώθ· πλήρης ὁ οὐρανὸς, καὶ ἡ γῆ τῆς δόξης σου, ὡσαννὰ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ὡσαννὰ ὁ ἐν τοῖς ὑψίστοις.

الخيرات الدهريه . القوة الصانعة الحيوة . ينبوع القداسة . الذى منه كل خليقة نطقية وعقلية متقوية . لك وحدك تتعبد . ولك ترسل اقوال تماجيد سرمديه . اذ ان البرايا كلها هى عبيد لك . واياك تسبح المليكة . ورؤساء المليكة . والكراسى . والارباب . والرؤساء . والسلاطين . والقوات . والشاروبيم . الكثيروا الاعين . السيرافيم هم منتصبون حولك . لهذا ستة اجنحة . ولذاك ستة اجنحة فبالاثنين منها يغطون وجوههم . وبالاثنين يحجبون ارجلهم . وبالاثنين يطيرون صارخين احدهم نحو الاخر بافواه عديمة السكون . باقوال التماجيد من غير صمت .

ويملن

مرتلين تسبيح الظفر هاتفين وصارخين وقايلين

σου, ἢ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου ἐν παντὶ καιρῷ; Δέσποτα τῶν ἁπάντων, Κύριε οὐρανοῦ καὶ γῆς, καὶ πάσης κτίσεως ὁρωμένης τε, καὶ οὐχ ὁρωμένης, ὁ καθήμενος ἐπὶ θρόνου δόξης, καὶ ἐπιβλέπων ἀβύσσους, ἄναρχε, ἀόρατε, ἀκατάληπτε, ἀπερίγραπτε, ἀναλλοίωτε, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος τῆς ἐλπίδος ἡμῶν· ὅς ἐστιν εἰκὼν τῆς σῆς ἀγαθότητος, σφραγὶς ἰσότυπος, ἐν ἑαυτῷ δεικνύς σε τὸν Πατέρα, Λόγος ζῶν, Θεὸς ἀληθινὸς, ἡ πρὸ αἰώνων σοφία, ζωὴ, ἁγιασμὸς, δύναμις, τὸ φῶς τὸ ἀληθινὸν· παρ᾽ οὗ τὸ Πνεῦμα τὸ ἅγιον ἐξεφάνη, τὸ τῆς ἀληθείας Πνεῦμα, τὸ τῆς υἱοθεσίας χάρισμα, ὁ ἀῤῥαβὼν τῆς μελλούσης κληρονομίας, ἡ ἀπαρχὴ τῶν αἰωνίων ἀγαθῶν, ἡ ζωοποιὸς δύναμις, ἡ πηγὴ τοῦ ἁγιασμοῦ, παρ᾽ οὗ πᾶσα κτίσις λογική τε, καὶ νοερὰ δυνα-

بقلب منسحق وبروح متواضع . لانك انت هو المنعم علينا بمعرفة حقك . لانه من هو كفو لان يصف قدرتك . او ليصيّر تسابيحك كلها مسموعة . او ليخبر بعجايبك جميعها فى كل وقت . ياسيد الكل رب السما والارض . وكل خليقة منظورة وغير منظورة . ايها الجالس على كرسى المجد . والناظر الاعماق . ياعديم البداية . ياغير منظور . يامن لايمكن ادراكه . ياغير محاط به . ياعديم الاستحالة . ياابا الاله العظيم مخلصنا وربنا ورجاينا يسوع المسيح . الذى هو صورة صلاحك . وختمٌ مساوٍ بالشبه . ومظهرك فى ذاته ابا . الذى هو كلمة حية . اله حق . حكمةٌ قبل الدهور . حيوة . تقديس . قوة . النور الحقيقى . الذى منه صدر الروح القدس روح الحق . موهبة البنوة بالوضع . عربون الميراث العتيد . ابتدا

Ὁ χορός. Ἔχομεν πρὸς τὸν Κύριον.

Ὁ ἱερεύς. Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ὁ χορός. Ἄξιον καὶ δίκαιόν ἐστι προσκυνεῖν Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Ὁ ἱερεὺς κλινόμενος, ἐπεύχεται μυστικῶς.

Ὁ ὢν, Δέσποτα, Κύριε, Θεὲ, Πάτερ παντοκράτορ, προσκυνητὲ, ἄξιον ὡς ἀληθῶς, καὶ δίκαιον, καὶ πρέπον τῇ μεγαλοπρεπείᾳ τῆς ἁγιωσύνης σου, σὲ αἰνεῖν, σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ προσκυνεῖν, σοὶ εὐχαριστεῖν, σὲ δοξάζειν τὸν μόνον ὄντως ὄντα Θεὸν, καὶ προσφέρειν ἐν καρδίᾳ συντετριμμένῃ, καὶ πνεύματι ταπεινώσεως τὴν λογικὴν ταύτην λατρείαν ἡμῶν· ὅτι σὺ εἶ ὁ χαρισάμενος ἡμῖν τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας. Καὶ τίς ἱκανὸς λαλῆσαι τὰς δυναστείας σου, ἀκουστὰς ποιῆσαι πάσας τὰς αἰνέσεις

الخورص

ومع روحك

الكاهن

فلنرفع قلوبنا فوقاً

الخورص

نحو الرب

الكاهن

فلنشكر الرب

الخورص

انه لعدلٌ وواجبٌ ان نسجد للاب والابن والروح القدس . الثالوث المساوى فى الجوهر والغير المنقسم .

ثم ان ينحنى الكاهن يصلى سرا

ايها السيد الرب الاله الاب المسجود له الضابط الكل . انه استحقاقٌ وعدلٌ هو . وواجبٌ لجلال قدسك . ان نسبحك . ونمدحك . ونباركك . ونسجد لك . ونشكرك . ونمجدك انت الذى وحدك الاله حقًا . ولك نقرب عبوديتنا هذه النطقية

Ἀγαπήσω σε Κύριε ἡ ἰσχύς μου· Κύριος στερέωμά μου καὶ καταφυγή μου.

τρίς.

Καὶ ὁ διάκονος περιπτύσσεται τὸ ὠράριον αὐτοῦ, καὶ προσκυνεῖ τρὶς, καὶ ἐπισυνάπτει ἐκφώνως.

Τὰς θύρας, τὰς θύρας· ἐν σοφίᾳ πρόσχωμεν.

Ὁ λαὸς τὸ, Πιστεύω εἰς ἕνα Θεόν.

Ὁ Διάκονος.

Στῶμεν καλῶς, στῶμεν μετὰ φόβου· πρόσχωμεν, τὴν ἁγίαν ἀναφορὰν ἐν εἰρήνῃ προσφέρειν. Ὁ χορός. Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως.

Ὁ Ἱερεὺς ἐκφώνως.

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος εἴη μετὰ πάντων ἡμῶν.

Ὁ χορός.

Καὶ μετὰ τοῦ Πνεύματός σου.

Ὁ ἱερεύς. Ἄνω σχῶμεν τὰς καρδίας.

والكاهن يسجد ثلث سجدات قايلًا ثلث مرات سرًا

احبك يارب قوتي الرب ثباتي وملجاي

الشماس يقبل زناره ويسجد ثلث مرات ويردف معلناً

الابواب الابواب صوفيا بروسخومن

والشعب يقول

نومن بالله واحد بتمامها

الشماس

فلنقف حسناً ولنقف بخوف. ولنصغ لكي نقدم بسلام القربان المقدس

الخورص

رحمة السلام ذبيحة التسبيح

والكاهن يعلن

نعمة ربنايسوع المسيح. ومحبة اللّه الاب . وشركة الروح القدس . فلتكن مع جميعنا .

φοβεροῦ βήματος, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ ἱερεύς.

Ἐκφώνως.

Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ μεθ᾽ οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ ἱερεύς. Εἰρήνη πᾶσι.

Ὁ Διάκονος.

Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν.

Ὁ χορός.

Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον, καὶ ἀχώριστον.

Ὁ ἱερεὺς προσκυνεῖ τρὶς. λέγων μυστικῶς.

ذات كل قداسة الطاهرة الفايقة البركات المجيدة سيدتنا والدة الاله الدايمة بكارتها مريم مع جميع القديسين اذ نحن ذاكرون فذواتنا وبعضنا بعضاً وجميع حياتنا للمسيح الاله نودع .

والكاهن يعلن

لاجل رافات ابنك الوحيد الذى انت معه مبارك مع روحك الكلى قدسه الصالح والصانع الحيوة الان وكل اوان والى دهر الداهرين .

الكاهن

السلام لجميعكم

الشماس

فليحب بعضنا بعضاً لكى نعترف بنية واحدة

الخورص

بالاب والابن والروح القدس الثالوث المساوى بالجوهر والغير المنقسم .

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν, καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγὸν, φύλακα τῶν ψυχῶν, καὶ τῶν σωμάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην, καὶ ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ, καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ, καὶ μετανοίᾳ ἐκτελέσαι ἡμᾶς, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ

ان يكون يومنا جميعه كاملًا مقدسًا سلاميًا وبغير خطية من الرب نسال .

ملك سلام مرشدًا امينًا وحافظًا لانفسنا واجسادنا من الرب نسال .

مسامحة خطايانا وغفران زلاتنا من الرب نسال .

الخيرات المفيدة لانفسنا والسلام للعالم من الرب نسال .

الباقي من زمن حياتنا ان يكمل بسلام وتوبة من الرب نسال .

منتهاة حياتنا مسيحية سلامية بلا وجع وبغير خزي وجوابًا حسنًا لدى المنبر المرهوب من الرب نسال .

ἀγνοημάτων. ἣν προσδεξάμενος εἰς τὸν ἅγιον, καὶ ὑπερουράνιον, καὶ νοερόν σου θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ ἁγίου σου Πνεύματος· ἐπίβλεψον ἐφ' ἡμᾶς ὁ Θεὸς, καὶ ἔπιδε ἐπὶ τὴν λατρείαν ἡμῶν ταύτην, καὶ πρόσδεξαι αὐτὴν, ὡς προσεδέξω Ἄβελ τὰ δῶρα, Νῶε τὰς θυσίας, Ἀβραὰμ τὰς ὁλοκαρπώσεις, Μωσέως, καὶ Ἀαρὼν τὰς ἱερωσύνας· Σαμουὴλ τὰς εἰρηνικάς· ὡς προσεδέξω ἐκ τῶν ἁγίων σου ἀποστόλων τὴν ἀληθινὴν ταύτην λατρείαν, οὕτω καὶ ἐκ τῶν χειρῶν ἡμῶν τῶν ἁμαρτωλῶν πρόσδεξαι τὰ δῶρα ταῦτα ἐν τῇ χρηστότητί σου Κύριε, ἵνα καταξιωθέντες λειτουργεῖν ἀμέμπτως τῷ ἁγίῳ σου θυσιαστηρίῳ, εὕρωμεν τὸν μισθὸν τῶν πιστῶν καὶ φρονίμων οἰκονόμων, ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ τῆς ἀνταποδόσεώς σου τῆς δικαίας.

Ὁ Διάκονος.

لرايحة عطر . ترسل لنا عوضها نعمة روحك القدوس . فاطلع علينا يااللّه وانظر الى عبوديتنا هذه . واقبلها كما قبلت قرابين هابيل . وذبايح نوح . وتقدمات ابرهيم . وكهنوتيات موسى وهرون . وقرابين صاموئيل السلامية . وكما قبلت هذه العبودية الحقيقية من رسلك القديسين . فهكذا اقبل من ايدينا ايضاً نحن الخطاه هذه المواهب بصلاحك يارب . حتى اذا ما وجدنا مستحقين ان نخدم مذبحك المقدس بلا عيب . نجد ثواب الامنا والقهارمة العقلا فى يوم مجازاتك العادلة الرهيب .

الشماس

اعضد وخلص وارحم واحفظنا يااللّه بنعمتك

καὶ ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν.

Εὐχὴ τῆς προσκομιδῆς, μετὰ τὴν ἐν τῇ ἁγίᾳ τραπέζῃ τῶν θείων δώρων ἀπόθεσιν, ἣν ὁ ἱερεὺς λέγει μυστικῶς.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κτίσας ἡμᾶς, καὶ ἀγαγὼν εἰς τὴν ζωὴν ταύτην, ὁ ὑποδείξας ἡμῖν ὁδοὺς εἰς σωτηρίαν, ὁ χαρισάμενος ἡμῖν οὐρανίων μυστηρίων ἀποκάλυψιν, καὶ θέμενος ἡμᾶς εἰς τὴν διακονίαν ταύτην, ἐν τῇ δυνάμει τοῦ Πνεύματός σου τοῦ ἁγίου, εὐδόκησον δὴ Κύριε, τοῦ γενέσθαι ἡμᾶς διακόνους τῆς καινῆς σου διαθήκης, λειτουργοὺς τῶν ἁγίων σου μυστηρίων· πρόσδεξαι ἡμᾶς προσεγγίζοντας τῷ ἁγίῳ σου θυσιαστηρίῳ, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου· ἵνα γενώμεθα ἄξιοι τοῦ προσφέρειν σοι τὴν λογικὴν ταύτην, καὶ ἀναίμακτον θυσίαν ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ

من اجل نجاتنا من كل حزن ورجز وخطر وشدة من الرب نطلب

افشين التقدمة يقوله الكاهن سرًا بعد وضع المواهب الالهية على المايدة المقدسة

الها الرب الهنا . يامن خلقتنا وادخلتنا الى هذه الحيوة مظهراً لنا طرقاً للخلاص . يامن انعمت علينا بكشف الاسرار السموية . ووضعتنا لهذه الخدمة بقوة روحك القدوس. فارتضِ يارب بان نكون خداماً لعهدك الجديد . وخادمين اسرارك المقدسة . وبحسب كثرة رحمتك اقبلنا نحن المتقدمين الى مذبحك المقدس . لنكون مستحقين ان نقدم لك الذبيحة النطقية والغير الدموية . من اجل خطايانا وجهالات الشعب . التى اذا ما قبلتها على مذبحك النطقى السماوى العقلى

τὰ δῶρα ταῦτα. Σὺ γὰρ εἶ ὁ προσφέρων, καὶ προσφερόμενος, καὶ προσδεχόμενος, καὶ διαδιδόμενος, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Κἀνταῦθα ὅ τε ἱερεὺς, καὶ ὁ διάκονος τὰ αὐτὰ καὶ ποιοῦσι, καὶ λέγουσιν, ὡς ἐν τῇ τοῦ Χρυσοστόμου ἱερουργίᾳ, καὶ τελειωθέντων τῶν εὐχῶν, καὶ τῆς μεγάλης εἰσόδου, ὁ διάκονος ἔρχεται ἐν τῷ συνήθει τόπῳ, λέγων.

Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ὑπὲρ τῶν προτιθέντων τιμίων δώρων, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου,

المواهب مني انا عبدك الغير المستحق . لانك انت هو المقرّب والمقرَّب . والقابل والمعطى ايها المسيح الهنا . ولك نرسل المجد مع ابيك الذى لا ابتداء له . وروحك الكلى قدسه . الصالح والصانع الحيوة . الان وكل اوان والى دهر الداهرين

ثم الكاهن والشماس يصنعان ويقولان الاشيا ذاتها كما فى قداس فم الذهب وبعد نهاية الصلوات والايصودون الكبير ياتى الشماس الى المكان المعتاد قايلاً

لنكمل طلبتنا للرب

من اجل هذه المواهب المكرمة الموضوعة من الرب نطلب

من اجل هذا البيت المقدس والداخلين اليه بامانة وورع وخوف اللّه من الرب نطلب

Σὺ γὰρ μόνος Κύριε ὁ Θεὸς ἡμῶν, δεσπόζεις τῶν ἐπουρανίων, καὶ τῶν ἐπιγείων, ὁ ἐπὶ θρόνου χερουβικοῦ ἐποχούμενος, ὁ τῶν Σεραφὶμ Κύριος, καὶ Βασιλεὺς τοῦ Ἰσραὴλ, ὁ μόνος ἅγιος, καὶ ἐν ἁγίοις ἀναπαυόμενος. Σὲ τοίνυν δυσωπῶ τὸν μόνον ἀγαθὸν, καὶ εὐήκοον· ἐπίβλεψον ἐπ' ἐμὲ τὸν ἁμαρτωλὸν καὶ ἀχρεῖον δοῦλόν σου, καὶ καθάρισόν μου τὴν ψυχὴν, καὶ τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς, καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ ἁγίου σου Πνεύματος, ἐνδεδυμένον τὴν τῆς ἱερατείας χάριν παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ τραπέζῃ, καὶ ἱερουργῆσαι τὸ ἅγιον, καὶ ἄχραντόν σου σῶμα, καὶ τὸ τίμιον αἷμα. Σοὶ γὰρ προσεύχομαι, κλίνας τὸν ἐμαυτοῦ αὐχένα, καὶ δέομαί σου· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, μηδὲ ἀποδοκιμάσῃς με ἐκ παίδων σου· ἀλλ' ἀξίωσον προσενεχθῆναί σοι ὑπ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου

استحالة ولا تغيير . وحصلت لنا رييس كهنة . وبما انك رب الكل قد سلمتنا خدمة هذه الذبيحة الكهنوتية والغير الدموية . لانك انت وحدك ايها الرب الهنا تسود السمويات والارضيات . ايها الراكب على العرش الشاروبيمي . ورب السيرافيم . وملك اسراييل القدوس وحدك . والمستريح في القديسين . فاليك اذاً اتضرع انت الصالح وحدك والحسن الاجابة . فانظر اليَّ انا عبدك الخاطي البطال . وطهر نفسي وقلبي من ضمير شرير . واجعلني كفواً بقوة روحك القدوس . انا اللابس نعمة الكهنوت . لان اقف لدى مايدتك هذه المقدسة . واقدس جسدك المقدس الطاهر ودمك الكريم . لاني اليك اتضرع محنياً عنقي . واطلب منك ان لا تصرف وجهك عني . ولا ترذلني من بين عبيدك . بل ارتضِ بان تتقدم لك هذه

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον.

Σοφία. Ὁ Ἱερεύς.

Ἐκφώνως.

Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εὐχή, ἣν λέγει ὁ Ἱερεὺς μυστικῶς, τοῦ χερουβικοῦ ᾀδομένου.

Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις, καὶ ἡδοναῖς, προσέρχεσθαι, ἢ προσεγγίζειν, ἢ λειτουργεῖν σοι Βασιλεῦ τῆς δόξης· τὸ γὰρ διακονεῖν σοι, μέγα, καὶ φοβερὸν καὶ αὐταῖς ταῖς ἐπουρανίοις δυνάμεσιν. Ἀλλ᾽ ὅμως διὰ τὴν ἄφατον, καὶ ἀμέτρητόν σου φιλανθρωπίαν, ἀτρέπτως, καὶ ἀναλλοιώτως γέγονας ἄνθρωπος, καὶ ἀρχιερεὺς ἡμῶν ἐχρημάτισας, καὶ τῆς λειτουργικῆς ταύτης, καὶ ἀναιμάκτου θυσίας τὴν ἱερουργίαν παρέδωκας ἡμῖν, ὡς Δεσπότης τῶν ἁπάντων.

الروح القدس على المواهب العتيدة ان تتقدم

اعضد وخلص وارحم واحفظنا يااللّٰه بنعمتك صوفيا

ويعلن الكاهن

حتى ونحن مصانون بقدرتك كل حين نرسل لك المجد ايها الاب والابن والروح القدس الان وكل اوان والى دهر الداهرين .

الافشين الذى يتلوه الكاهن سرا عند ترتيل الشاروبيكون

ليس احد من المرتبطين بالشهوات واللذات الجسدية . مستحقاً ان يتقدم . او يدنومنك اويخدمك يـاملك المجد . لان الخدمة لك لعظيمةٌ هى . ومرهوبةٌ ايضاً من القوات السمويين انفسهم . لكنك مع هذا جميعه . فلاجل محبتك للبشر العديمة الوصف والغير المتناهية . قد صرت انساناً بغير

Σοφία. Ὁ Ἱερεύς.

Ἐκφώνως.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος.

Ἔτι, καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Εὐχὴ πιστῶν δευτέρα, ἣν ὁ ἱερεὺς λέγει μυστικῶς.

Ὁ Θεὸς, ὁ ἐπισκεψάμενος ἐν ἐλέει, καὶ οἰκτιρμοῖς τὴν ταπείνωσιν ἡμῶν· ὁ στήσας ἡμᾶς τοὺς ταπεινοὺς, καὶ ἁμαρτωλοὺς, καὶ ἀναξίους δούλους σου κατενώπιον τῆς ἁγίας δόξης σου, λειτουργεῖν τῷ ἁγίῳ σου θυσιαστηρίῳ· σὺ ἐνίσχυσον ἡμᾶς τῇ δυνάμει τοῦ ἁγίου σου Πνεύματος εἰς τὴν διακονίαν ταύτην, καὶ δὸς ἡμῖν λόγον ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν, εἰς τὸ ἐπικαλεῖσθαι τὴν χάριν τοῦ ἁγίου Πνεύματος ἐπὶ τῶν μελλόντων προτίθεσθαι δώρων.

اعضد وخلص وارحم واحفظنا يااللّه بنعمتك صوفيا

الكاهن يعلن

لانه لك ينبغي كل مجد واكرام وسجود ايها الاب والابن والروح القدس الآن وكل اوان والى دهر الداهرين

الشماس

ايضاً وايضاً بسلام من الرب نطلب

افشين المومنين الثاني يقوله الكاهن سراً

ايها الاله الذى افتقدت بالرحمة والرافة تواضعنا . يامن اقمتنا نحن عبيدك الخطاة الذليلين الغير المستحقين امام مجدك الاقدس . لنخدم مذبحك المقدس . فانت قوّنا بقوة روحك القدوس فى هذه الخدمة . واعطنا كلمةً فى فتح فمنا لنستدعى نعمة

ἔλθετε, ὅσοι κατηχούμενοι προέλθετε. μή τις τῶν κατηχουμένων· ὅσοι πιστοὶ, ἔτι, καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Εὐχὴ πιστῶν πρώτη, μετὰ τὸ ἁπλωθῆναι τὸ εἱλητὸν, ἣν ὁ ἱερεὺς λέγει μυστικῶς.

Σὺ Κύριε κατέδειξας ἡμῖν τὸ μέγα τοῦτο τῆς σωτηρίας μυστήριον, σὺ κατηξίωσας ἡμᾶς τοὺς ταπεινοὺς, καὶ ἀναξίους δούλους σου, γενέσθαι λειτουργοὺς τοῦ ἁγίου σου θυσιαστηρίου· σὺ ἱκάνωσον ἡμᾶς τῇ δυνάμει τοῦ ἁγίου Πνεύματος εἰς τὴν διακονίαν ταύτην, ἵνα ἀκατακρίτως στάντες ἐνώπιον τῆς ἁγίας δόξης σου, προσάγωμέν σοι θυσίαν αἰνέσεως. σὺ γὰρ εἶ ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι· δὸς Κύριε καὶ ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων, δεκτὴν γενέσθαι τὴν θυσίαν ἡμῶν, καὶ εὐπρόσδεκτον ἐνώπιόν σου.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

ايها الموعوظون جميعاً اخرجوا . لا يلبث احدٌ من الموعوظين . امـا انتم يامومنون كلكم . فايضاً وايضاً بسلام من الرب نطلب .

افشين المومنين الاول يقوله الكاهن سراً بعد فتح الانديميسي

انت يارب اظهرت لنا سر الخلاص هذا العظيم . انت اهلتنا نحن عبيدك الذليلين الغير المستحقين لان نصير خداماً لمذبحك المقدس . فانت اجعلنا بقوة روحك القدوس كفواً لهذه الخدمة . حتى اذ نقف بغير مداينة امام مجدك الاقدس نقدم لك ذبيحة التسبيح . لانك انت هو الفاعل كل شي في الكل . ثم امنح يارب ان تكون ذبيحتنا مرضية وحسنة القبول امامك من اجل خطايانا وجهالات الشعب ايضاً

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν οὐρανοῖς κατοικῶν, καὶ ἐπιβλέπων ἐπὶ πάντα τὰ ἔργα σου, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους, τοὺς ὑποκεκλικότας τοὺς ἑαυτῶν αὐχένας ἐνώπιόν σου, καὶ δὸς αὐτοῖς τὸν ἐλαφρὸν ζυγόν· ποίησον αὐτοὺς μέλη τίμια τῆς ἁγίας σου ἐκκλησίας, καὶ καταξίωσον αὐτοὺς τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας, εἰς ἐπίγνωσιν σοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν.

Ἐκφώνως ὁ ἱερεύς.

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον, καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Μετὰ τὴν ἐκφώνησιν ὁ ἱερεὺς ἐξαπλοῖ τὸ εἰλητὸν κατὰ τὸ σύνηθες.

Ὁ Διάκονος.



Ὅσοι κατηχούμενοι προέλθετε, οἱ κατηχούμενοι προ-

ايها الرب الهنا . الساكن فى السموات والمطلع على جميع اعمالك . انظر الى عبيدك الموعوظين الذين قد احنوا امامك اعنافهم . واعطهم نيرك الخفيف . وصيرهم اعضاءً مكرمة لكنيستك المقدسة . واهلهم لحميم اعادة الولادة . ولمغفرة الخطايا . ولسربال عدم الفساد . ولمعرفتك ياالهنا الحقيقى .

والكاهن يعلن

لكى يمجدوا معنا هم ايضاً اسمك الكلى الاكرام العظيم البها . ايها الاب والابن والروح القدس الان وكل اوان والى دهر الداهرين

وبعد هذا الاعلان يفتح الكاهن الاندميسى كالعادة

الشماس

ايها الموعوظون كافةً اخرجوا . ياايها الموعوظون اخرجوا .

Ἐκφώνως.

Ὅτι ἐλεήμων, καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ διάκονος.

Εὔξασθε οἱ κατηχούμενοι τῷ Κυρίῳ.

Οἱ πιστοὶ ὑπὲρ τῶν κατηχουμένων δεηθῶμεν.

Ἵνα ὁ Κύριος αὐτοὺς ἐλεήσῃ.

Κατηχήσῃ αὐτοὺς τῷ λόγῳ τῆς ἀληθείας.

Ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης.

Ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ, καὶ ἀποστολικῇ ἐκκλησίᾳ.

Σῶσον, ἐλέησον, ἀντιλαβοῦ, καὶ διαφύλαξον αὐτοὺς ὁ Θεὸς τῇ σῇ χάριτι.

Οἱ κατηχούμενοι τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Εὐχὴ ὑπὲρ τῶν κατηχουμένων πρὸ τῆς ἁγίας ἀναφορᾶς, ἣν ὁ ἱερεὺς λέγει μυστικῶς.

والابن والروح القدس الان وكل اوان والى دهر الداهرين

الشماس

صلوا ايها الموعوظون للرب .

ايها المومنون من اجل الموعوظين نطلب .

لكى يرحمهم الرب ويعظهم بكلمة الحق

ليظهر لهم بشارة العدل

ليتحدهم بكنيسته الجامعة المقدسة الرسولية

اعضد وخلص وارحم واحفظهم يااللّٰه بنعمتك

يا ايها الموعوظون احنوا روسكم للرب .

افشين لاجل الموعوظين يقال من الكاهن سراً قبل التقدمة المقدسة!

Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος), τοῦ τιμίου πρεσβυτερίου.

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως, καὶ ἀφέσεως τῶν ἁμαρτιῶν, τῶν δούλων τοῦ Θεοῦ τῶν ἀδελφῶν τῆς ἁγίας Μονῆς ταύτης.

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων, καὶ ἀοιδίμων κτιτόρων τῆς ἁγίας Μονῆς ταύτης, καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων, καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων, καὶ ἁπανταχοῦ ὀρθοδόξων.

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων, καλλιεργούντων ἐν τῷ ἁγίῳ, καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων, καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα, καὶ πλούσιον ἔλεος.

وايضاً نطلب من اجل الرحمة والحيوة والسلام والعافية والخلاص لعبيد الله الاخوة الذين فى هذا المكان المقدس وافتقادهم ومسامحتهم وغفران خطاياهم

وايضاً نطلب من اجل المطوبين الدايمين الذكر الذين عمروا هذا المكان المقدس ومن اجل ساير المتنيحين من ابائنا واخوتنا الراقدين بحسن عبادةٍ ههنا وفى كل مكان الارثوذكسيين

وايضاً نطلب من اجل المقدمين الاثمار والصانعين الاحسان فى هذا الهيكل المقدس الكلى الوقار والتعبين والمرتلين ومن اجل هذا الشعب الحاضر المنتظر من لدنك رحمةً عظيمةً وغنية

اعلان

لانك انت هو الله رحومٌ ومحب للبشر . ولك نرسل المجد ايها الاب

ποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Κἀνταῦθα, ὡς ἐν τῇ λειτ. τοῦ Χρυσοστ. Μετὰ δὲ τὸ εὐαγγέλιον.

ὁ Διάκονος.

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Ὁ χορός. Κύριε ἐλέησον.

Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον.

Ἐλέησον ἡμᾶς ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον.

Εὐχὴ τῆς ἐκτενοῦς ἱκεσίας.

Κύριε ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων, καὶ ἐλέησον ἡμᾶς, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐφ᾽ ἡμᾶς, καὶ ἐπὶ πάντα τὸν λαόν σου, τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος.

نقول كافةً من كل نفسنا ومن كل نيتنا فلنقل

الخورس يارب ارحم

الهنا الرب الضابط الكل اله ابائنا نطلب منك فاستجب وارحم

ارحمنا ياالله كعظيم رحمتك نطلب منك فاستجب وارحم

افشين الطلبة المتصلة

الهنا الرب الهنا اقبل هذه الطلبه المتصلة من عبيدك . وارحمنا بحسب رحمتك الجزيلة . وارسل رافاتك علينا وعلى شعبك المنتظر من لدنك رحمةً غنية .

وايضاً نطلب من اجل رييس كهنتنا فلان والكهنة المكرمين .

وايضاً نطلب من اجل اخوتنا الكهنة والكهنة الرهبان وكل اخ لنا بالمسيح

Ταύτης τῆς εὐχῆς τελεσθείσης, καὶ τοῦ χοροῦ ψάλλοντος τό, **Δόξα, καὶ νῦν**· ὅ τε ἱερεύς, καὶ ὁ διάκονος ψάλλουσι τὸ τρισάγιον, καὶ τὰ λοιπὰ ποιοῦσιν, ὡς ἐν τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ.

Εὐχὴ πρὸ τοῦ εὐαγγελίου.

Ἔλλαμψον ἐν ταῖς καρδίαις ἡμῶν, φιλάνθρωπε Δέσποτα, τὸ τῆς σῆς θεογνωσίας ἀκήρατον φῶς, καὶ τοὺς τῆς διανοίας ἡμῶν διάνοιξον ὀφθαλμοὺς εἰς τὴν τῶν εὐαγγελικῶν σου κηρυγμάτων κατανόησιν· ἔνθες ἡμῖν τὸν τῶν μακαρίων σου ἐντολῶν φόβον, ἵνα τὰς σαρκικὰς ἐπιθυμίας καταπατήσαντες, πνευματικὴν πολιτείαν μετέλθωμεν, πάντα πρὸς εὐαρέστησίν σου φρονοῦντες, καὶ πράττοντες. Σὺ γὰρ εἶ ὁ φωτισμὸς τῶν ψυχῶν, καὶ τῶν σωμάτων ἡμῶν, Χριστὲ ὁ Θεός, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωο-

التريصاجيون . ويعملان الباقى كما فى ليتورجيا فم الذهب

افشين قبل الانجيل

ايها السيد المحب البشر. اشرق فى قلوبنا نور معرفتك البهى . وافتح عينى ذهننا لمفهومية مواعظك الانجيلية . وضع فينا خوف وصاياك الطوباوية . لكى نتصرف بسيرة روحية . دايسين جميع الشهوات اللحمية . متعقلين كل ما يرضيك . لانك انت هو استنارة انفسنا واجسادنا ايها المسيح الاله . ولك نرسل المجد مع ابيك الذى لا ابتدا له وروحك الكلى القداسة . الصالح والصانع الحيوة . الان وكل اوان والى دهر الداهرين .

ثم ههنا كما فى ليتورجيا فم الذهب

وبعد قراة الانجيل يقول الشماس

ὁ καταξιώσας ἡμᾶς τοὺς ταπεινοὺς, καὶ ἀναξίους δούλους σου, καὶ ἐν τῇ ὥρᾳ ταύτῃ στῆναι κατενώπιον τῆς δόξης τοῦ ἁγίου σου θυσιαστηρίου, καὶ τὴν ὀφειλομένην σοι προσκύνησιν, καὶ δοξολογίαν προσάγειν· αὐτὸς Δέσποτα πρόσδεξαι καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτολῶν τὸν τρισάγιον ὕμνον, καὶ ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου. συγχώρησον ἡμῖν πᾶν πλημμέλημα ἑκούσιόν τε, καὶ ἀκούσιον· ἁγίασον ἡμῶν τὰς ψυχὰς, καὶ τὰ σώματα· καὶ δὸς ἡμῖν ἐν ὁσιότητι λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς πρεσβείαις τῆς ἁγίας Θεοτόκου, καὶ πάντων τῶν ἁγίων τῶν ἀπ᾽ αἰῶνός σοι εὐαρεστησάντων.

ايضاً لدى مجد مذبحك المقدس. لتقدمة السجود الواجب لك مع قول التمجيد. فانت ايها الرب اقبل من فمنا نحن الخطاة التسبيح المثلث التقديس. وافتقدنا بخيريتك. واصفح لنا عن جميع الزلات الطوعية والغير الطوعية. وقدس انفسنا واجسادنا. واعطنا ان نعبدك بالقداسة جميع ايام حياتنا. بشفاعة القديسة والدة الاله. وجميع القديسين الذين ارضوك منذ الدهر.

اعلان

Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

لانك قدوس انت يا الهنا. ولك نرسل المجد ايها الاب والابن والروح القدس. الان وكل اوان والى دهر الداهرين.

وبعد نهاية هذه الصلوة فالخورص يرتل ذكصا كانين ثم الكاهن والشماس يرتلان

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Μετὰ τὴν εὐχὴν ὅ τε ἱερεὺς, καὶ ὁ διάκονος, καὶ ὁ χορὸς τὰ αὐτὰ καὶ ποιοῦσι, καὶ λέγουσιν, ὡς ἐν τῇ τοῦ Χρυσοστόμου ἱερουργίᾳ.

Εὐχὴ τοῦ τρισαγίου, ἣν ὁ ἱερεὺς μυστικῶς λέγει.

Ὁ Θεὸς ὁ ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, ὁ τρισαγίῳ φωνῇ ὑπὸ τῶν Σεραφὶμ ἀνυμνούμενος, καὶ ὑπὸ τῶν Χερουβὶμ δοξολογούμενος, καὶ ὑπὸ πάσης ἐπουρανίου Δυνάμεως προσκυνούμενος, ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα, ὁ κτίσας τὸν ἄνθρωπον κατ᾽ εἰκόνα σὴν, καὶ ὁμοίωσιν, καὶ παντί σου χαρίσματι κατακοσμήσας, ὁ διδοὺς αἰτοῦντι σοφίαν, καὶ σύνεσιν, καὶ μὴ παρορῶν ἁμαρτάνοντα, ἀλλὰ θέμενος ἐπὶ σωτηρίᾳ μετάνοιαν,

القدس . الان وكل اوان والى دهر الداهرين

وبعد الصلوة اعلاه فالكاهن والشماس والخورص يقولون ويعملون الاشيا ذاتها كما فى قداس فم الذهب

افشين التريصاجيون يقوله الكاهن سراً

الها الاله القدوس المستريح فى القديسين . المسبح من السيرافيم باصوات ذى ثلث تقديسات . والممجد من الشاروبيم . والمسجود له من جميع القوات السمويين . يامن اخرجت الاشيا كلها من العدم الى الوجود . وخلقت الانسان على صورتك ومثالك . وزينته بجميع مواهبك . يامن تمنح الطالب فهماً وحكمةً . ولم تهمل الخاطى . بل وضعت التوبة للخلاص . يامن اهلتنا نحن عبيدك الذليلين الغير المستحقين للوقوف فى هذه الساعة

μενος προσευχάς, ὁ καὶ δύο, καὶ τρισὶ συμφωνοῦσιν ἐπὶ τῷ ὀνόματί σου, τὰς αἰτήσεις παρέχειν ἐπαγγειλάμενος· αὐτὸς καὶ νῦν τῶν δούλων σου τὰ αἰτήματα πρὸς τὸ συμφέρον πλήρωσον, χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας, καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον χαριζόμενος.

Κἀνταῦθα, ὡς ἐν τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ, ὁ χορὸς τὰ αὐτὰ ψάλλει· ὅ τε ἱερεὺς, καὶ ὁ διάκονος τὰ αὐτὰ καὶ λέγουσι, καὶ ποιοῦσιν.

Εὐχὴ τῆς εἰσόδου τοῦ ἁγίου εὐαγγελίου μυστικῶς.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα, καὶ στρατιὰς ἀγγέλων, καὶ ἀρχαγγέλων, πρὸς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν εἴσοδον ἁγίων ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν, καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα.

الطلبات نحو الموافق . منعماً علينا في الدهر الحاضر بمعرفة حقك . وواهباً ايانا في العتيد حيوة ابدية .

ثم الخورص يرتل الاشيا ذاتها كما في ليتورجيا فم الذهب . والكاهن والشماس يقولان ويعملان الاشيا ذاتها

افشين ايصودون الانجيل المقدس سري

ايها السيد الرب الهنا . يامن اقمت في السموات طغمات واجناد ملیكة وروساء مليكة لخدمة مجدك . اصنع ان يكون مع دخولنا دخول مليكة قديسين . خادمين معنا ومجدين معاً صلاحك .

اعلان

لانه لك ينبغي كل مجد واكرام وسجود . ايها الاب والابن والروح

διαφύλαξον· ἁγίασον τοὺς ἀγαπῶντάς τὴν εὐπρέπειαν τοῦ οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς ὁ Θεὸς τοὺς ἐλπίζοντας ἐπὶ σέ.

Ὁ Διάκονος.

Ἔτι, καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν.

Ἐκφώνως.

Ὅτι ἀγαθὸς, καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εὐχὴ ἀντιφώνου τρίτου μυστικῶς.

Ὁ τὰς κοινὰς ταύτας, καὶ συμφώνους ἡμῖν χαρισά-

الشماس

ايضاً وايضاً بسلام من الرب نطلب

اعضد وخلص وارحم واحفظنا يااللّٰه بنعمتك

ذات كل قداسة الطاهرة الفايقة البركات المجيدة سيدتنا الخ

اعلان

لانك انت هو اله صالح ومحب للبشر . ولك نرسل المجد ايها الاب والابن والروح القدس . الان وكل اوان . والى دهر الداهرين .

افشين الانتيفونا الثالثة سرى

يامن انعمت علينا بهذه الصلوات المشتركة المتفقة النغمات . واوعدت بانه اينما اتفق صوت اثنين او ثلثة باسمك تهب لهم طلباتهم . فانت الان كمّل لعبيدك

ἀμέτρητον, καὶ ἡ φιλανθρωπία ἄφατος· αὐτὸς Δέσποτα κατὰ τὴν εὐσπλαγχνίαν σου ἐπίβλεψον ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὸν ἅγιον οἶκον τοῦτον, καὶ ποίησον μεθ' ἡμῶν, καὶ τῶν συνευχομένων ἡμῖν, πλούσια τὰ ἐλέη σου, καὶ τοὺς οἰκτιρμούς σου.

Ὁ Διάκονος.

Ἔτι, καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου.

Ἀντιλαβοῦ, σῶσον.

Τῆς παναγίας, ἀχράντου.

Ἐκφώνως.

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εὐχὴ ἀντιφώνου δευτέρου μυστικῶς.

Κύριε ὁ Θεὸς ἡμῶν, σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· τὸ πλήρωμα τῆς ἐκκλησίας σοῦ ἐν εἰρήνῃ

واصنع معنا ومع المصلين وايانا رافاتك ومراحمك الغنية .

الشماس

ايضاً وايضاً بسلام من الرب نطلب

اعضد وخلص الخ

ذات كل قداسة الطاهرة الخ

اعلان

لان لك هي العزة . ولك هو الملك والقوة والمجد . ايها الاب والابن والرح القدس . الان وكل اوان والى دهر الداهرين .

افشين الانتيفونا الثانية

سرى

ايها الرب الهنا خلص شعبك وبارك ميراثك . احفظ كمال كنيستك بسلام . قدس المحبين جمال بيتك انت عوضهم مجداً بقوتك الالهية . ولا تهملنا نحن المتكلين عليك .

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ἐκφώνως.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εὐχὴ ἀντιφώνου πρώτου μυστικῶς.

Κύριε ὁ Θεὸς ἡμῶν, οὗ τὸ κράτος ἀνείκαστον, καὶ ἡ δόξα ἀκατάληπτος, οὗ τὸ ἔλεος

اعضد وخلص وارحم واحفظنا يا الله بنعمتك

ذات كل قداسة الطاهرة الفايقة البركات المجيدة سيدتنا والدة الاله الدايمة بكارتها مريم مع جميع القديسين اذ نحن ذاكرون فذواتنا وبعضنا بعضاً وجميع حياتنا للمسيح الاله نودع

اعلان

لانه لك ينبغي كل مجد واكرام وسجود ايها الاب والابن والروح القدس الان وكل اوان والى دهر الداهرين

افشين الانتيفونا الاولى سرى

ايها الرب الهنا . ياذا العزة العديمة المماثلة . والمجد الفايق الادراك . والرحمة التى لا تقدير لها . والمحبة للبشر الغير الموصوفة . انت ايها السيد بحسب تحننك انظر الينا والى هذا البيت المقدس .

Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

بالمسيح وساير الاكليروس وكل الشعب من الرب نطلب

Ὑπὲρ τῶν εὐσεβεστάτων, καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, παντὸς τοῦ παλατίου, καὶ τοῦ στρατοπέδου αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

من اجل ملوكنا الحسنين العبادة المحفوظين من الله وجميع بلاطهم واجنادهم من الرب نطلب

Ὑπὲρ τοῦ συμπολεμῆσαι, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν, καὶ πολέμιον, τοῦ Κυρίου δεηθῶμεν.

من اجل موازرتهم فى الحروب وخضوع كل عدو ومحارب تحت اقدامهم من الرب نطلب

Ὑπὲρ τῆς ἁγίας Μονῆς ταύτης, πάσης πόλεως, χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

من اجل هذا المكان المقدس وكل مدينة وقرية والمومنين الساكنين فيها من الرب نطلب

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν τοῦ Κυρίου δεηθῶμεν.

من اجل اعتدال الهواء وخصب اثمار الارض واوقات سلامية من الرب نطلب

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

من اجل السايرين فى البحر والمسافرين فى البر والمرضى والمصابين والمسبين وخلاصهم من الرب نطلب

من اجل نجاتنا من كل حزن ورجز وخطر وشدة من الرب نطلب

Ὁ ἱερεύς.

Ἐκφώνως.

Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Τὰ εἰρηνικὰ, καὶ αἱ ἀποκρίσεις, ὡς καὶ ἐν τῇ λειτουργίᾳ τοῦ Χρυσοστόμου.

ὁ Διάκονος.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν·

ὁ χορός. Κύριε ἐλέησον.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

والكاهن بصوت عال

مباركة هى مملكة الاب والابن والروح القدس الان وكل اوان والى دهر الداهرين

اما نظراً الى الابتهالات السلامية والجوابات فهى كما فى الليتورجيا التى لفم الذهب

الشماس

بسلام من الرب نطلب

الخورس

يارب ارحم

من اجل السلام العلوى وخلاص نفوسنا من الرب نطلب

من اجل السلام لكل العالم وحسن الثبات لكنايس الله المقدسة واتحاد الكل من الرب نطلب

من اجل هذا البيت المقدس والداخلين اليه بامانة وورع وخوف الله من الرب نطلب

من اجل رييس كهنتنا فلان والكهنة المكرمين والشمامسة الخدام

افشين التقدمة

يا الله الهنا يامن ارسلت ربنا يسوع المسيح الخبز السماوى غذاء كل العالم . مخلصاً وفاديًا ومحسناً . مباركاً ايانا ومقدسًا . انت بارك هذه التقدمة . واقبلها على مذبحك السماوى . وبما انك صالح ومحب للبشر . اذكر مقدميها والذين قدمت من اجلهم . واحفظنا نحن غير مدانين فى خدمة اسرارك الالهية . لانه قد تقدس وتمجد اسمك الكلى الاكرام العظيم البها . ايها الاب والابن والروح القدس . الان وكل اوان والى دهر الداهرين امين .

الشماس

بارك ياسيد

Εὐχὴ τῆς Προθέσεως.

Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον τὴν τροφὴν τοῦ παντὸς κόσμου, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἐξαποστείλας Σωτῆρα, καὶ Λυτρωτήν, καὶ Εὐεργέτην, εὐλογοῦντα, καὶ ἁγιάζοντα ἡμᾶς· αὐτὸς εὐλόγησον τὴν πρόθεσιν ταύτην, καὶ πρόσδεξαι αὐτὴν εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον· μνημόνευσον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, τῶν προσενεγκάντων, καὶ δι' οὓς προσήγαγον, καὶ ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ ἱερουργίᾳ τῶν θείων σου μυστηρίων.

Ὅτι ἡγίασται, καὶ δεδόξασται τὸ πάντιμον, καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος.

Εὐλόγησον Δέσποτα.

Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΒΑΣΙΛΕΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ.

ΠΡΟΟΙΜΙΟΝ.

Σημείωσαι, ὅτι αὕτη ἡ θεία λειτουργία τοῦ μεγάλου Βασιλείου, οὐ λέγεται πάντοτε, ἀλλ' ἐν καιροῖς τεταγμένοις, ἤγουν ἐν ταῖς κυριακαῖς τῆς μεγάλης τεσσαρακοστῆς, πλὴν τῆς κυριακῆς τῶν βαΐων. Ἐν τῇ ἁγίᾳ καὶ μεγάλῃ πέμπτῃ, ἐν τῷ μεγάλῳ σαββάτῳ, ἐν τῇ παραμονῇ τῆς τοῦ Χριστοῦ ἡμῶν γεννήσεως, καὶ τῶν φώτων, καὶ ἐν τῇ ἡμέρᾳ τῇ ἑορτασίμῳ τοῦ ἁγίου Βασιλείου.

Ἡ Ἑρμηνεία δὲ, καὶ ἡ διάταξις ταύτης τῆς ἱερουργίας, ἡ αὐτή ἐστι τῇ τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου.

الليتورجيا الالهية

التى لابينا القديس باسيليوس الكبير

تنبيه

ان هذه الليتورجيا الالهية التى لباسيلوس الكبير لا تقال دايمًا لكن فى ازمنة مرتبة . اى فى احاد الاربعين العظيمة . ماعدا احد الشعانين . وفى خميس الكبير المقدس . وفى السبت العظيم . وفى بارامونى ميلاد المسيح والظهور . ثم فى عيد القديس باسيليوس نفسه . اما شرح وطقس هذا القداس فهو نظير قداس القديس يوحنا فم الذهب

Ὁ δὲ ἱερεὺς ἐξελθὼν, δίδωσι τῷ λαῷ τὸ ἀντίδωρον. Ὁ λαός.

Δόξα, Καὶ νῦν· ὁ ἱερεύς. Εὐλογία Κυρίου ἐφ' ἡμᾶς. Καὶ γίνεται τελεία ἀπόλυσις· καὶ εἰσελθὼν ἐν τῷ ἁγίῳ βήματι, ἀποδύεται τὴν ἱερατικὴν στολὴν, λέγων.

Νῦν ἀπολύεις· τὸ Τρισάγιον. Καὶ τὰ λοιπά· Ἀπολυτίκιον, καὶ κοντάκιον τῆς ἡμέρας· ἔπειτα τὸ τροπάριον τοῦ Χρυσοστόμου· Ἡ τοῦ στόματός σου καθάπερ πυρσὸς ἐκλάμψασα . . . τὸ Κύριε ἐλέησον, ιβ'. Δόξα, Καὶ νῦν. Τὴν τιμιωτέραν. Καὶ ποιεῖ ἀπόλυσιν. Καὶ προσκυνήσας, καὶ εὐχαριστήσας τῷ Θεῷ ἐπὶ πᾶσιν, ἐξέρχεται.

Τέλος τῆς θείας Λειτουργίας τοῦ Χρυσοστόμου.


ويصير الختم الكامل . ثم يدخل الى الهيكل المقدس ويخلع عنه الحلة الكهنوتية قايلاً

الان اطلق عبدك بتمامها وقدوس الله وما يتلوها وابوليتيكيون النهار وقنداقه . وطروبارية فم الذهب

لقد اشرقت النعمة من فمك شبه النار الخ

واثنا عشر صوتاً يارب ارحم ثم نكصا كانين وايتها الاكرم من الشاروبيم ويعمل الختم . وبعد ان يكون سجد وشكر الله على كل شى يخرج

نهاية الليتورجيا الالهية التى للقديس يوحنا فم الذهب



ἀναπέμπομεν τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ταύτης δὲ τελεσθείσης, ὁ μὲν ἱερεὺς εἰσέρχεται διὰ τῶν ἁγίων θυρῶν· καὶ ἀπελθὼν ἐν τῇ προθέσει, λέγει τὴν παροῦσαν εὐχήν.

Εὐχὴ λεγομένη ἐν τῷ συστεῖλαι τὰ Ἅγια.

Τὸ πλήρωμα τοῦ νόμου, καὶ τῶν προφητῶν αὐτὸς ὑπάρχων, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πληρώσας πᾶσαν τὴν πατρικὴν οἰκονομίαν, πλήρωσον χαρᾶς, καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ δὲ διάκονος εἰσελθὼν καὶ αὐτὸς διὰ τοῦ βορείου μέρους, συστέλλει τὰ Ἅγια μετὰ φόβου καὶ πάσης ἀσφαλείας, ὥστε μηδέν τι τῶν ἄγαν λεπτοτάτων ἐκπεσεῖν, ἢ καταλειφθῆναι. Καὶ ἀπονίπτεται τὰς χεῖρας ἐν τῷ συνήθει τόπῳ

الان وكل اوان والى دهر الداهرين امين .

واما الكاهن فيدخل داخل الابواب المقدسة ويـاتى الى مكان التقدمة ويقول الصلوة التابعة

ان انك كمال الناموس والانبيا ايهـا المسيح الهنا . الذى اكملت التدبير الابوى باسره . كمل قلوبنا بالفرح والسرور كل حين . الان وكل اوان والى دهر الداهرين امين .

ثم ان الشماس يدخل من ناحية الشمال ويتلذ القدسات بخوف وبكل احتراس ليلا يسقط او يتبقى منها شى كلياً ولو مهما كان صغيراً جداً ويغسل يديه فى المكان المعتاد واما الكاهن فيخرج ويعطى الشعب الاندورون والشعب نكصا . كانين والكاهن

بركة الرب ورحمته تاتى علينا الخ

τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἐν εἰρήνῃ προέλθωμεν. Ὁ διάκονος, Τοῦ Κυρίου δεηθῶμεν.

Εὐχὴ ὀπισθάμβωνος, ἐκφωνουμένη παρὰ τοῦ ἱερέως ἔξω τοῦ βήματος.

Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε Κύριε, καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας, σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· τὸ πλήρωμα τῆς ἐκκλησίας σου φύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ· εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς ἐκκλησίαις σου τοῖς ἱερεῦσι, τοῖς βασιλεῦσιν ἡμῶν, τῷ στρατῷ, καὶ παντὶ τῷ λαῷ σου. Ὅτι πᾶσα δόσις ἀγαθὴ, καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι, καταβαῖνον ἐκ σοῦ τοῦ Πατρὸς τῶν φώτων· καὶ σοὶ τὴν δόξαν, καὶ εὐχαριστίαν, καὶ προσκύνησιν

والروح القدس . الان وكل اوان والى دهر الداهرين
فلنخرج بسلام
والشماس يقول
من الرب نطلب
افشين يقال من الكاهن جهاراً خلف الامبونوس خارج الهيكل

يامبارك مباركيك يارب . ومقدس المتكلين عليك . خلص شعبك وبارك ميراثك . احفظ كمال كنيستك . قدس المحبين جمال بيتك . انت عوضهم مجداً بقوتك الالهية . ولا تهملنا نحن المتكلين عليك . هب السلام لعالمك . ولكنايسك . وللكهنة . ولملوكنا وللجنود . ولساير شعبك . لان كل عطية صالحة وكل موهبة كاملة هي من العلو منحدرة من لدنك ياابا الانوار . ولك نرسل المجد والشكر والسجود . ايها الاب والابن والروح القدس .

θύραν, ὁρᾷ τὸν λαὸν, λέγων μυστικῶς.

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, καὶ ἐκφώνως, πάντοτε, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ἐξελθὼν ὁ διάκονος, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει.

Ὀρθοὶ, μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων, ἀθανάτων, ἐπουρανίων, καὶ ζωοποιῶν, φρικτῶν τοῦ Χριστοῦ μυστηρίων, ἀξίως εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν, καὶ ἀναμάρτητον αἰτησάμενοι, ἑαυτοὺς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ἐκφώνησις.

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ

المقدسة ويلتفت الى الباب ناظراً الى الشعب قايلًا سراً

مبارك هو الهنا

ثم يعلن

كل حين الان وكل اوان والى دهر الداهرين امين

ثم يخرج الشماس ويقف فى مكانه المعتاد قايلًا

استقيموا ايها الذين اشتركتم باسرار المسيح الالهية المقدسة الطاهرة الغير المايتة السموية المحيية الرهيبة لنشكر الرب باستحقاق .

اعضد وخلص وارحم واحفظنا يااللّه بنعمتك .

ان يكون يومنا كاملًا مقدسًا سلاميًا وبغير خطية اذ نحن طالبون فذواتنا وبعضنا بعضًا وجميع حياتنا للمسيح الاله نودع

اعلان

لانك انت هو تقديسنا . ولك نرسل المجد ايها الاب والابن

ἔρχεται εἰς τὴν θύραν, καὶ ὑψῶν τὸ ἅγιον ποτήριον, δείκνυσιν αὐτὸ τῷ λαῷ, λέγων.

Μετὰ φόβου Θεοῦ, πίστεως, καὶ ἀγάπης προσέλθετε.

Ὁ δὲ ἱερεὺς εὐλογεῖ τὸν λαὸν, ἐπιλέγων ἐκφώνως.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Καὶ ἐπιστρέφουσιν ὅ τε διάκονος καὶ ὁ ἱερεὺς εἰς τὴν ἁγίαν τράπεζαν, καὶ θυμιᾷ ὁ ἱερεὺς τρὶς, λέγων καθ᾽ ἑαυτόν.

Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ Θεὸς, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

Εἶτα λαβὼν τὸν ἅγιον δίσκον, τίθησιν ἐπὶ τὴν κεφαλὴν τοῦ διακόνου· καὶ ὁ διάκονος λαβὼν αὐτὸν μετὰ εὐλαβείας, θεωρῶν ἔξω πρὸς τὴν θύραν, οὐδὲν λέγων, ἀπέρχεται εἰς τὴν πρόθεσιν, καὶ ἀποτίθησιν αὐτόν· ὁ δὲ ἱερεὺς προσκυνήσας, καὶ λαβὼν τὸ ἅγιον ποτήριον, καὶ ἐπιστραφεὶς πρὸς τὴν

سجدةً واحدة يتناول الكاس بورعٍ ويقدم الى الباب ويرفع الكاس المقدسة ويظهرها للشعب قايـلًا

بخوف اللّه وامـانةٍ ومحبـةٍ تقدموا

والكاهن يبـارك الشعب باعلان قايلًا

خلص يااللّه شعبك وبارك ميراثك

ثم يلتفت الكاهن والشماس الى المايـدة المقدسة . والكاهن يبخر ثلثـًا قايلًا في ذاته

ارتفَع اللهمَّ على السمـوات وعلى ساير الارض مجدك .

ثم ياخـذ الصينيـة المقـدسـة ويضعهـا على راس الشمـاس فياخذها بحسن عبادة صامتـًا ناظرًا الى خارج نحو الباب ويمضِ الى موضع التقدمة فيضعها هناك والكاهن يسجد ويتناول الكاس

πάνυ καλῶς, καὶ μετὰ προσοχῆς καὶ εὐλαβείας σκεπάζει τὸ ἅγιον ποτήριον τῷ καλύμματι, ὁμοίως καὶ ἐπὶ τὸν ἅγιον δίσκον ἀνατίθησι τὸν ἀστέρα, καὶ τὰ καλύμματα.

Εἶτα ἐπιλέγει τὴν τῆς εὐχαριστίας εὐχὴν ὁ ἱερεύς.

Εὐχαριστοῦμέν σοι, Δέσποτα φιλάνθρωπε, εὐεργέτα τῶν ψυχῶν ἡμῶν, ὅτι καὶ τῇ παρούσῃ ἡμέρᾳ κατηξίωσας ἡμᾶς τῶν ἐπουρανίων σου, καὶ ἀθανάτων μυστηρίων· ὀρθοτόμησον ἡμῶν τὴν ὁδόν· στήριξον ἡμᾶς ἐν τῷ φόβῳ σου τοὺς πάντας· φρούρησον ἡμῶν τὴν ζωήν· ἀσφάλισαι ἡμῶν τὰ διαβήματα, εὐχαῖς, καὶ ἱκεσίαις τῆς ἐνδόξου Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων τῶν ἁγίων σου.

Καὶ οὕτως ἀνοίγουσι τὴν θύραν τοῦ ἁγίου βήματος, καὶ ὁ διάκονος προσκυνήσας ἅπαξ, λαμβάνει τὸ ποτήριον μετὰ εὐλαβείας, καὶ

شفتاك قد لامستا هذا . فينزع عنك اثامك . ويطهّر خطاياك .

وحينيذ الشماس يضبط الصينية المقدسة فوق الكاس المقدسة وبالاسفنجة المقدسة ينظفها كلها جيداً ثم يغطي الكاس المقدسة بالكاليا باحتراس وحسن عبادة . وهكذا يضع في الصينية المقدسة النجم والاغطية

ثم الكاهن يتلو صلوة الشكر هذه

نشكرك ايها الرب المحب البشر المحسن الى نفوسنا . لانك اهلتنا في اليوم الحاضر ايضاً لاقتبال اسرارك السموية الغير المايتة . فاجعل طرقنا مستقيمةً . شددنا اجمعين بخوفك . احرس حياتنا . ثبّت خطواتنا . بصلوات والدة الاله المجيدة الدايمة البكارة مريم وطلباتها مع جميع قديسيك

وهكذا يُفتح باب الهيكل المقدس والشماس اذ يكون سجد

τέραις μετὰ καλύμματος τὸ ἅγιον ποτήριον, καὶ μεταλαμβάνει τρίτον ἐξ αὐτοῦ· καὶ οὕτω τά τε ἴδια χείλη. καὶ τοῦ ἱεροῦ ποτηρίου, τῷ ἐν χερσὶ καλύμματι ἀποσπογγίσας, καλεῖ τὸν διάκονον, λέγων.

Διάκονε πρόσελθε. Καὶ ὁ διάκονος ἔρχεται, καὶ προσκυνεῖ ἅπαξ, λέγων. Ἰδοὺ προσέρχομαι τῷ ἀθανάτῳ Βασιλεῖ. Καὶ τὸ Πιστεύω Κύριε, καὶ ὁμολογῶ· ὅλον· καὶ λέγει ὁ ἱερεύς. Μεταλαμβάνει ὁ δοῦλος τοῦ Θεοῦ διάκονος, (ὁ δεῖνα) τὸ τίμιον, καὶ ἅγιον αἷμα τοῦ Κυρίου καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσιν αὐτοῦ ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.

Μεταλαβόντος δὲ τοῦ διακόνου, λέγει ὁ ἱερεύς.

Τοῦτο ἥψατο τῶν χειλέων σου, καὶ ἀφελεῖ τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ.

Τότε λαβὼν τὸν ἅγιον δίσκον ὁ διάκονος, ἐπάνω τοῦ ἁγίου ποτηρίου, ἀποσπογγίζει τῷ ἁγίῳ σπόγγῳ

وهكذا يتناولان من جسد يسوع المسيح الذى يكون فى ايديهما بكل خوف واحتراس . وبعد ان ينتصب ياخذ الكاس المقدسة بيديه كلتيهما ويتناول منها ثلث مرات . وهكذا ان يمسح بالكاليما التى بيده شفتيه مع حافة الكاس ينادى الشماس قايلاً

ايها الشماس تقدم

فيتقرب الشماس ويسجد سجدةً قايلًا

هوذا انا اتقدم الى الملك الغير المايت

ثم انا اومن يارب واعترف بتمامها

والكاهن يقول

عبد اللّه الشماس فلان يتناول دم ربنا والهنا ومخلصنا يسوع المسيح الكريم المقدس لغفران خطاياه وللحيوة الابدية

وان يتناول الشماس يقول الكاهن

σθαι τοῦ παναγίου σώματος, καὶ αἵματός σου.

Ὁ Θεὸς ἡμῶν ἄνες, ἄφες, συγχώρησόν μοι τὰ παραπτώματά μου, ὅσα σοι ἥμαρτον, εἴτε ἐν γνώσει, εἴτε ἐν ἀγνοίᾳ, εἴτε ἐν λόγῳ, εἴτε ἐν ἔργῳ ἔπραξα· πάντα μοι συγχώρησον, ὡς ἀγαθὸς, καὶ φιλάνθρωπος· ταῖς πρεσβείαις τῆς παναχράντου σου, καὶ ἀειπαρθένου Μητρὸς ἀκατακρίτως ἀξίωσόν με δέξασθαι τὸ τίμιον, καὶ ἄχραντον σῶμά σου, εἰς ἴασιν ψυχῆς, καὶ σώματος. ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Καὶ τελευταῖον τό. Μή μοι εἰς κρῖμα, ἢ εἰς κατάκριμα γένοιτο ἡ μετάληψις τῶν ἁγίων σου μυστηρίων, Κύριε, ἀλλ' εἰς ἴασιν ψυχῆς καὶ σώματος. Καὶ οὕτω μεταλαμβάνουσι τοῦ ἐν χερσὶ μετὰ φόβου καὶ πάσης ἀσφαλείας. Εἶτα ἀναστὰς, λαμβάνει ταῖς χερσὶν ἀμφο-

فهكذا ايها الرب الهي لا تستنكف مني انا الخاطي . ولكن كصالح ومحب البشر. اجعلني مستحقاً ان اتناول من جسدك ودمك المقدس

يا الهنا اغفر واصفح وتجاوز عن ذنوبي . وعن كل ما اخطات اليك . ان كان بمعرفة او بغير معرفة . وسامحني عن كل ما فعلته . ان كان بالقول . او بالفعل . بما انك صالح ومحب البشر. بشفاعة والدتك الطاهرة والدايمة بكارتها . واجعلني مستحقاً حتى بغير دينونة اقتبل جسدك الكريم والطاهر. لاجل شفا نفسي وجسدي . لان لك هو الملك والاقتدار الى دهر الداهرين

واخيراً يقول

لا يكن لي تناول اسرارك المقدسة يارب لمحاكمة او لدينونة بل لشفا النفس والجسد

κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω, οὐ φίλημά σοι δώσω καθάπερ ὁ Ἰούδας, ἀλλ' ὡς ὁ λῃστὴς ὁμολογῶ σοι· μνήσθητί μου Κύριε ἐν τῇ βασιλείᾳ σου. Καί.

Κύριε οὐκ εἰμὶ ἄξιος, ἵνα ὑπὸ τὴν ῥυπαρὰν στέγην τῆς ψυχῆς μου εἰσέλθῃς· ἀλλ' ὡς κατεδέξω ἐν σπηλαίῳ, καὶ φάτνῃ ἀλόγων ἀνακλιθῆναι, καὶ ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, καὶ τὴν ὁμοίαν μου πόρνην τὴν ἁμαρτωλὸν προσερχομένην σοι καταδεξάμενος· αὐτὸς καταξίωσον καὶ ἐν τῇ φάτνῃ τῆς ἀλόγου μου ψυχῆς, καὶ ἐν τῷ ἐσπιλωμένῳ μου σώματι εἰσελθεῖν τοῦ νεκροῦ, καὶ λεπροῦ· καὶ ὡς οὐκ ἐβδελύξω τὸ στόμα τὸ ῥυπαρὸν τῆς πόρνης καταφιλούσης τοὺς ἀχράντους σου πόδας, οὕτω Δέσποτα, Θεέ μου, μὴ βδελύξῃ καὶ ἐμὲ τὸν ἁμαρτωλόν· ἀλλ' ὡς ἀγαθὸς, καὶ φιλάνθρωπος ἀξίωσόν με κοινωνὸν γενέ-

الخطاة الذين انا اولهم . وايضاً اومن بان هذا هو جسدك الطاهر ودمك الكريم

اقبلني اليوم شريكاً في عشايك السرى يا ابن الله . لاني لست اقول سرك لاعدايك . ولا اعطيك قبلة نظير يوضس . لكن كاللص اعترف لك . اذكرني يارب في ملكوتك .

انني لست مستحقاً ايها السيد ان تدخل تحت سقف نفسي الوسخ . ولكن كما انك ارتضيت ان توضع في المغارة وفي مدود البهايم . وكما انك اقتبلت في بيت سمعان الابرص تلك الخاطية المتقدمة اليك . التي كانت تشبهني في الخطايا . فهكذا ارتضِ بان تدخل في مدود نفسي العديمة الافراز . وفي جسدي النجس المايت والابرص . وكما انك لم تستنكف من فم الزانية النجس . التي قبّلت قدميك الطاهرتين

(τῷ δεῖνι) ἱεροδιακόνῳ μεταδίδοται τὸ τίμιον, καὶ ἅγιον, καὶ ἄχραντον σῶμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσιν αὐτοῦ ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον. Καὶ ἀπέρχεται ὄπισθεν τῆς ἱερᾶς τραπέζης, κλίνας τὴν κεφαλὴν, καὶ προσεύχεται ὡς ὁ ἱερεύς. Ὁμοίως δὲ ὁ ἱερεὺς λαβὼν μίαν μερίδα τοῦ ἁγίου ἄρτου, λέγει. Τὸ τίμιον καὶ πανάγιον σῶμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μεταδίδοταί μοι, (τῷ δεῖνι) ἱερεῖ, εἰς ἄφεσίν μου ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον· καὶ κλίνας κάτω τὴν κεφαλὴν, προσεύχεται λέγων.

Πιστεύω Κύριε, καὶ ὁμολογῶ, ὅτι σὺ εἶ ὁ Χριστὸς, ὁ Υἱὸς, τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ ἐλθὼν εἰς τὸν κόσμον, ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτος εἰμὶ ἐγώ. Καὶ,

Τοῦ δείπνου σου τοῦ μυστικοῦ σήμερον, Υἱὲ Θεοῦ,

اعطني ياسيد جسد ربنا والهنا ومخلصنا يسوع المسيح الكريم والمقدس

والكاهن يقول

جسد ربنا والهنا ومخلصنا يسوع المسيح الكريم والمقدس والطاهر يُعطَى للشماس فلان لغفران خطاياه وللحيوة الابدية

ثم يرجع الى خلف المايدة المقدسه محنيًا الراس ويصلي نظير الكاهن وهكذا الكاهن ان يكون اخذ جزاءً من الخبز المقدس يقول

جسد ربنا والهنا ومخلصنا يسوع المسيح الكريم والكلي القداسة يُعطَى لى انا فلان لغفران خطاياى وللحيوة الابدية

ويحنى راسه الى اسفل ويصلي قايلًا

انا اومن يارب واعترف بانك انت هو المسيح ابن اللّه الحى. الذى اتيت الى العالم لتخلص

Καὶ δεχόμενος τὸ ζέον, λέγει πρὸς τὸν ἱερέα.

Εὐλόγησον δέσποτα τὸ ζέον. Ὁ δὲ ἱερεὺς εὐλογεῖ, λέγων.

Εὐλογημένη ἡ ζέσις τῶν ἁγίων σου πάντοτε, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ὁ διάκονος ἐκχέει τὸ ἀρκοῦν σταυροειδῶς ἔνδον τοῦ ἁγίου ποτηρίου λέγων. Ζέσις πίστεως, πλήρης Πνεύματος ἁγίου, ἀμήν.

Καὶ ἀποτιθέμενος τὸ ζέον, ἵσταται μικρὸν ἄποθεν. Ὁ δὲ ἱερεὺς λέγει. Ὁ διάκονος πρόσελθε· καὶ προσελθὼν ὁ διάκονος, ποιεῖ μετάνοιαν εὐλαβῶς αἰτῶν συγχώρησιν· ὁ δὲ ἱερεὺς κρατῶν τὸν ἅγιον ἄρτον, δίδωσι τῷ διακόνῳ· καὶ ἀσπασάμενος ὁ διάκονος τὴν μεταδιδοῦσαν αὐτῷ χεῖρα, λαμβάνει τὸν ἅγιον ἄρτον, λέγων.

Μετάδος μοι δέσποτα τὸ τίμιον, καὶ ἅγιον σῶμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὁ δὲ ἱερεὺς λέγει· (τῷ

ثم ياخذ الزاون ويقول نحو الكاهن

بارك ياسيد هذا الزاون

والكاهن يباركه قايلًا

مباركة هي حرارة قديسيك كل حين الان وكل اوان والى دهر الداهرين امين

والشماس يسكب ما يكفي من الزاون شكل صليب في الكاس المقدسة قايلًا

حرارة الايمان المستوعبة من الروح القدس امين .

واذ يضع الزاون يتوقف قليلًا على ناحية والكاهن يقول

تقدم ايها الشماس

واذ يتقدم الشماس فيصنع مطانية بحسن عبادة طالبًا الغفران اما الكاهن فاذ يكون ضابطًا الخبز المقدس يقدمه للشماس والشماس اذ يقبّل اليد المقدمة له ياخذ الخبز المقدس قايلًا

τοῦ ἱερέως κρατοῦντος τὸν ἅγιον ἄρτον, λέγει.

Μέλισον δέσποτα τὸν ἅγιον ἄρτον.

Ὁ δὲ ἱερεὺς μελίζων αὐτὸν εἰς τέσσαρα, μετὰ προσοχῆς καὶ εὐλαβείας, λέγει.

Μελίζεται, καὶ διαμερίζεται ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρὸς, ὁ μελιζόμενος, καὶ μὴ διαιρούμενος, ὁ πάντοτε ἐσθιόμενος, καὶ μηδέποτε δαπανώμενος· ἀλλὰ τοὺς μετέχοντας ἁγιάζει.

Καὶ ὁ διάκονος δεικνύων σὺν τῷ ὠραρίῳ τὸ ἅγιον ποτήριον, λέγει.

Πλήρωσον δέσποτα τὸ ἅγιον ποτήριον. Ὁ δὲ ἱερεὺς λαβὼν τὴν ἄνω κειμένην μερίδα, ποιεῖ σὺν αὐτῇ σταυρὸν ἐπάνω τοῦ ἁγίου ποτηρίου, λέγων. Πλήρωμα πίστεως Πνεύματος ἁγίου. Καὶ οὕτως ἐμβάλλει εἰς τὸ ἅγιον ποτήριον. Ὁ διάκονος. Ἀμήν.

الكاهن الذى يكون ضابطًا الخبز المقدس ويقول

قسّم ياسيد الخبز المقدس

والكاهن يقسمه اربعة اجزاء باحتراسٍ وورعٍ قايلًا

يُقسم ويُفصل حمل اللّه ابن الاب الذى يُفصل ولا ينتقص. ويُوكل كل حينٍ ولا يفنى اصلًا. بل انه يقدس المشتركين به.

والشماس يشير بالزنار نحو الكاس المقدسة قايلًا

كمّل ياسيد هذه الكاس المقدسة

والكاهن اذ ياخذ الجزء الموضوع فوقًا يصنع به شكل صليب على الكاس المقدسة قايلًا.

كمال امانة الروح القدس وهكذا يحدره فى الكاس المقدسة والشماس يقول امين

τοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου, καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ Πατρὶ συγκαθήμενος, καὶ ὧδε ἡμῖν ἀοράτως συνών· καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ, μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου σώματός σου, καὶ τοῦ τιμίου αἵματος, καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ.

Εἶτα προσκυνεῖ ὁ ἱερεὺς, ὁμοίως καὶ ὁ διάκονος ἐν ᾧ ἐστι τόπῳ, λέγοντες μυστικῶς τρίς. Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. Ὅταν δὲ εἴδῃ ὁ διάκονος τὸν ἱερέα ἐκτείνοντα τὰς χεῖρας, καὶ ἁπτόμενον τοῦ ἁγίου ἄρτου, πρὸς τὸ ποιῆσαι τὴν ἁγίαν ὕψωσιν, ἐκφωνεῖ.

Πρόσχωμεν. Καὶ ὁ ἱερεὺς ὑψῶν τὸν ἅγιον ἄρτον ἐκφωνεῖ.

Τὰ ἅγια τοῖς ἁγίοις. Εἶτα ζώννυται ὁ διάκονος τὸ ὠράριον αὐτοῦ σταυροειδῶς, καὶ εἰσέρχεται ἐν τῷ ἁγίῳ βήματι, καὶ στὰς ἐκ δεξιῶν

لتقديسنا ايها الجالس فى العلا مع الاب . والحاضر معنا ههنا غير منظور . وارتضِ بان تشركنا بجسدك الطاهر . ودمك الكريم من يدك المقتدرة . وبواسطتنا تشرك بهما كل الشعب .

ثم يسجد الكاهن ومثله الشماس فى مكانه قايلين سراً ثلث مرات

يا اللّه اغفر لى انا الخاطى

وحينما الشماس يشاهد الكاهن مادّاً يديه لامساً الخبز المقدس ليصنع الرفعة القدسية يعلن هو

بروسخومن

والكاهن اذ يرفع الخبز المقدس

يعلن

القدسات للقديسين

ثم الشماس يتزر بزناره شكل صليب ويدخل الى الهيكل المقدس ويقف من عن يمين

καὶ τῷ πλήθει τοῦ ἐλέους σου ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα. Αὐτὸς Δέσποτα οὐράνοθεν ἔπιδε ἐπὶ τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλάς· οὐ γὰρ ἔκλιναν σαρκὶ, καὶ αἵματι, ἀλλὰ σοὶ τῷ φοβερῷ Θεῷ. Σὺ οὖν Δέσποτα τὰ προκείμενα πᾶσιν ἡμῖν εἰς ἀγαθὸν ἐξομάλισον κατὰ τὴν ἑκάστου ἰδίαν χρείαν, τοῖς πλέουσι σύμπλευσον, τοῖς ὁδοιποροῦσι συνόδευσον, τοὺς νοσοῦντας ἴασαι, ὁ Ἰατρὸς τῶν ψυχῶν, καὶ τῶν σωμάτων.

Ἐκφώνησις.

Χάριτι, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἱερεὺς ἐπεύχεται.

Πρόσχες Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου κα-

ايها السيد اطلع من السماء على الذين احنوا لك روسهم . لانهم لم يحنوها للحمٍ ودم . بل لك ايها الاله المرهوب . فانت اذاً ايها الرب صير ان تكون هذه الموضوعات لصلاح كل احدٍ منا اجمعين حسب احتياجه الخصوصي . فاصحب السايرين فى البحر . ورافق المسافرين فى البر واشفِ المرضى ياطبيب الانفس والاجساد .

اعلان

بنعمة ابنك الوحيد ورافته ومحبته للبشر . الذى انت معه مبارك مع روحك الكلى قدسه . الصالح والصانع الحيوة . الان وكل اوان والى دهر الداهرين

ويصلى الكاهن

انصت ايها الرب يسوع المسيح الهنا . من مسكنك المقدس ومن كرسى مجد ملكك . وهلمَّ

Τὴν ἑνότητα τῆς πίστεως, καὶ τὴν κοινωνίαν τοῦ ἁγίου Πνεύματος αἰτησάμενοι, ἑαυτοὺς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ἐκφώνως.

Καὶ καταξίωσον ἡμᾶς Δέσποτα, μετὰ παῤῥησίας ἀκατακρίτως τολμᾷν ἐπικαλεῖσθαί σε τὸν ἐπουράνιον Θεὸν Πατέρα, καὶ λέγειν.

Ὁ λαὸς τὸ, Πάτερ ἡμῶν. Ὁ ἱερεύς.

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. εἶτα, Εἰρήνη πᾶσι.

ὁ Διάκονος.

Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Ὁ ἱερεὺς ἐπεύχεται.

Εὐχαριστοῦμέν σοι Βασιλεῦ ἀόρατε, ὁ τῇ ἀμετρήτῳ σου δυνάμει τὰ πάντα δημιουργήσας

ويصلي

واهلنا ايها السيد لان نجسر بدالة وندعوك ابًا غير مدانين ياايها الاله السموي ونقول

والشعب ابانا

والكاهن

لان لك هو الملك والقوة والمجد . ايها الاب والابن والروح القدس . الان وكل اوان والى دهر الداهرين

ثم يقول

السلام لجميعكم

الشماس

احنوا روسكم للرب

والكاهن يصلي

نشكرك ايها الملك الغير المنظور . يامن بقوتك التي لا تقدير لها . ابدعت الاشياكافة . وبكثرة رحمتك اخرجت الكل من العدم الى الوجود . فانت

Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν, καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγὸν, φύλακα τῶν ψυχῶν, καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην, καὶ ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ, καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ, καὶ μετανοίᾳ ἐκτελέσαι ἡμᾶς, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

ملاك سلام مرشداً اميناً وحافظاً لانفسنا واجسادنا من الرب نسال .

مسامحة خطايانا وغفران زلاتنا من الرب نسال .

الخيرات المفيدة لانفسنا والسلام للعالم من الرب نسال .

الباقي من زمن حياتنا ان نكمله بسلامٍ وتوبة من الرب نسال .

منتهاة حياتنا مسيحية سلامية بلا وجع وبغير خزى وجواباً حسناً لدى منبر المسيح المرهوب من الرب نسال .

الاتحاد فى الامانة وشركة الروح القدوس اذ نحن طالبون فذواتنا وبعضنا بعضاً وجميع حياتنا للمسيح الاله نودع .

τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος, δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν,

Ὁ ἱερεὺς ἐπεύχεται.

Σοὶ παρακατατιθέμεθα τὴν ζωὴν ἡμῶν ἅπασαν, καὶ τὴν ἐλπίδα, Δέσποτα φιλάνθρωπε, καὶ παρακαλοῦμεν, καὶ δεόμεθα, καὶ ἱκετεύομεν· καταξίωσον ἡμᾶς μεταλαβεῖν τῶν ἐπουρανίων σου, καὶ φρικτῶν μυστηρίων ταύτης τῆς ἱερᾶς, καὶ πνευματικῆς τραπέζης, μετὰ καθαροῦ συνειδότος εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς συγχώρησιν πλημμελημάτων, εἰς Πνεύματος ἁγίου κοινωνίαν, εἰς βασιλείας οὐρανῶν κληρονομίαν, εἰς παῤῥησίαν τὴν πρὸς σὲ, μὴ εἰς κρῖμα, ἢ εἰς κατάκριμα.

ὁ Διάκονος.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

من اجل نجاتنا من كل حزن ورجز وخطر وشدة من الرب نطلب ،

والكاهن يصلي

لك نودع حياتنا ورجانا جميعهما ياسيداً واداً للبشر . ونطلب ونتضرع ونتوسل . فاهلنا لتناول اسرارك السماويه الرهيبة . من هذه المايدة المقدسة الروحية . بضميرٍ نقي لمغفرة الخطايا . لمسامحة الذنوب . لشركة الروح القدس . لميراث الملكوت السماوى . للدالة امامك . لا لمحاكمةٍ اولدينونة .

والشماس

اعضد وخلص وارحم واحفظنا يااللّه بنعمتك .

ان يكون يومنا جميعه كاملاً مقدساً سلامياً وبغير خطية من الرب نسال .

ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

الكلى الاكرام العظيم البها . ايها الاب والابن والروح القدس . الان وكل اوان والى دهر الداهرين .

Ἐκφώνησις.

اعلان

Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ἡμῶν.

ولتكن مراحم الاله العظيم مخلصنا يسوع المسيح مع جميعنا .

Ὁ διάκονος λαβὼν καιρὸν παρὰ τοῦ ἱερέως, καὶ ἐξελθὼν, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει.

والشماس اذ ياخذ بركة من الكاهن يخرج ويقف فى مكانه المعتاد قايلًا

Πάντων τῶν ἁγίων μνημονεύσαντες, ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

جميع القديسين اذ نحن ذاكرون فايضًا وايضًا بسلام من الرب نطلب .

Ὑπὲρ τῶν προσκομισθέντων, καὶ ἁγιασθέντων τιμίων δώρων, τοῦ Κυρίου δεηθῶμεν.

من اجل هذه المواهب الكريمة المقدمة والمقدسة من الرب نطلب .

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον, καὶ ὑπερουράνιον, καὶ νοερὸν αὐτοῦ θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν, καὶ

حتى ان الهنا المحب البشر القابلها على مذبحه المقدس السماوى العقلى لرايحة عطر زكية روحية يرسل لنا عوضها النعمة الالهية وموهبة الروح القدس نطلب .

χου, Μητροπολίτου, ἢ Ἐπισκόπου, ὅστις ἂν ᾖ *, καὶ τὰ λοιπά. Ὁ διάκονος μνημονεύει τὰ δίπτυχα τῶν ζώντων.

Ὁ δὲ ἱερεὺς ἐπεύχεται.

Μνήσθητι Κύριε τῆς πόλεως, ἐν ᾗ παροικοῦμεν, καὶ πάσης πόλεως καὶ χώρας, καὶ τῶν ἐν πίστει οἰκούντων ἐν αὐταῖς· μνήσθητι Κύριε πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν· μνήσθητι Κύριε τῶν καρποφορούντων, καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου ἐκκλησίαις, καὶ μεμνημένων τῶν πενήτων· καὶ ἐπὶ πάντας ἡμᾶς τὰ ἐλέη σου ἐξαπόστειλον.

Ἐκφώνως.

Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι, καὶ μιᾷ καρδίᾳ δοξάζειν, καὶ

* Σημείωσαι τὸ εἰρημένον ἐν τῇ ἀρχῇ, ὅτι ἐν τῇ ἱερᾷ λειτουργίᾳ τοῦ τῆς Ῥώμης Ἀρχιερέως πρώτως δεῖ μνημονεύειν· εἶτα καὶ τοῦ Πατριάρχου καὶ τοῦ ἰδίου Ἐπισκόπου ἐάνπερ καθολικοὶ ὦσιν ἐν κοινωνίᾳ τῆς Ἐκκλησίας τῆς παλαιᾶς Ῥώμης.

والمطران او الاسقف الخ حسبما يكون * ثم يذكر الشماس دبتيخا الاحيا

والكاهن يصلي

اذكر يارب المدينة التي نحن قاطنون فيها . وكل المدن والقرى والمومنين الساكنين فيها . اذكر يارب السايرين فى البحر . والمسافرين فى البر . والمرضى . والمصابين . والمسبين . وخلاصهم . اذكر يارب المقدمين الاثمار . والصانعين الاحسان فى كنايسك . المقدسة . والمتعاهدين المساكين . وارسل مراحمك علينا اجمعين .

ثم يعلن

واعطنا ان نمجد بفمٍ واحد وقلبٍ واحد . ونسبح اسمك

* طالع ما قيل فى الابتدا انه فى الليتورجيا المقدسة ينبغى ان يصنع اولاً تذكار للحبر الرومانى ثم بعده للبطريرك وللاسقف الخصوصى اذ كانا كاتوليكيين فى شركة كنيسة رومية القديمة

τῆς ἐν Χριστῷ Διακονίας, καὶ παντὸς ἱερατικοῦ τάγματος. Ἔτι προσφέρομέν σοι λογικὴν ταύτην λατρείαν ὑπὲρ τῆς οἰκουμένης, ὑπὲρ τῆς ἁγίας καθολικῆς, καὶ ἀποστολικῆς ἐκκλησίας, ὑπὲρ τῶν ἐν ἁγνείᾳ καὶ σεμνῇ πολιτείᾳ διαγόντων, ὑπὲρ τῶν πιστοτάτων, καὶ φιλοχρίστων ἡμῶν βασιλέων, παντὸς τοῦ παλατίου, καὶ τοῦ στρατοπέδου αὐτῶν· δὸς αὐτοῖς Κύριε εἰρηνικὸν τὸ βασίλειον, ἵνα καὶ ἡμεῖς ἐν τῇ γαλήνῃ αὐτῶν ἤρεμον, καὶ ἡσύχιον βίον διάγωμεν πάσῃ ἐν εὐσεβείᾳ, καὶ σεμνότητι.

Ἐκφώνως.

Ἐν πρώτοις μνήσθητι Κύριε τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος), ὃν χάρισαι ταῖς ἁγίαις σου ἐκκλησίαις ἐν εἰρήνῃ, σῷον, ἔντιμον, ὑγιᾶ, μακροημερεύοντα, καὶ ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας.

Καὶ ὁ διάκονος πρὸς τῇ θύρᾳ στὰς, λέγει· τοῦ δεῖνος τοῦ Πατριάρ-

كلمة حقك . ورتبة الكهنوت كافةً . والشمامسة الخدام بالمسيح . وسـاير الطغمات الكهنوتية . وايضاً نقرب لك هذه الذبيحة النطقية مـن اجـل المسكونة . ومـن اجـل الكنيسة الجامعة المقدسة الرسولية . ومـن اجل المجيزين عمرهم بالعفة والسيرة الحميدة . ومـن اجل ملوكنا المومنين المحبين المسيح وجميع بلاطهم واجنادهم . فاعطهم يارب ملـكاً سلامياً . حتى نحن ايضاً نجيز فى هدوهم عمراً مستكناً بكل عبادة ونقاوة

ويعلن

اذكر يارب اولًا رييس كهنتنا فلان وهبه لكنايسك المقدسة بسلام صحيحاً مكرماً معافَى . مديد الايام . قاطعاً باستقـامة كلمة حقك .

والشماس اذيكون واقفاً عند الباب يقول البطريرك فـلان .

πανευφήμων Ἀποστόλων, τοῦ ἁγίου (τοῦ δεῖνος), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν καὶ πάντων τῶν ἁγίων σου, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ Θεός· καὶ μνήσθητι πάντων τῶν προκεκοιμημένων ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου· Ἐνταῦθα ὁ ἱερεὺς μνημονεύει ὧν θέλει ζώντων, καὶ τεθνεώτων· ὑπὲρ ζώντων λέγει. Ὑπὲρ σωτηρίας, ἐπισκέψεως, ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ δούλου τοῦ Θεοῦ (τοῦ δεῖνος), ὑπὲρ τεθνεώτων λέγει. Ὑπὲρ ἀναπαύσεως, καὶ ἀφέσεως τῆς ψυχῆς τοῦ δούλου σου (τοῦ δεῖνος) ἐν τόπῳ φωτεινῷ, ἔνθα ἀπέδρα λύπη, καὶ στεναγμός· ἀνάπαυσον αὐτὴν ὁ Θεὸς ἡμῶν, καὶ ἀνάπαυσον αὐτήν, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου. Ἔτι παρακαλοῦμέν σε· μνήσθητι Κύριε πάσης Ἐπισκοπῆς ὀρθοδόξου, τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας, παντὸς τοῦ Πρεσβυτερίου,

والشماس يذكر دبتيخا الراقدين والكاهن يصلي

والقديس يوحنا النبي السابق الصابغ والقديسين الرسل المجيدين الكلي مديحهم . والقديس فلان الذي نكمل تذكاره . وجميع القديسين الذين بطلباتهم افتقدنا يا الله . ثم اذكر جميع المتوفين على رجاء قيامة الحيوة الابدية .

وهنا يذكر الكاهن الذين يريدهم من الاحيا ومن الاموات . فمن اجل الاحيا يقول

من اجل خلاص عبد الله فلان وافتقاده وغفران خطاياه

ويقول من اجل الموتى

من اجل مسامحة نفس عبدك فلان وراحتها في مكان نير . حيث عدم الوجع والتنهد . فنيحها ياالهنا وارحها حيث يشرق نور وجهك . ايضاً نتضرع اليك . فاذكر يارب كل مصاف الاساقفة الارتوذكسيين . القاطنين باستقامة

ρων, Πατριαρχῶν, Προφητῶν, Ἀποστόλων Κηρύκων, Εὐαγγελιστῶν, Μαρτύρων, Ὁμολογητῶν, Ἐγκρατευτῶν, καὶ παντὸς πνεύματος ἐν πίστει τετελειωμένου.

Ὁ δὲ διάκονος θυμιᾷ τὴν ἁγίαν τράπεζαν γύρωθεν, καὶ μνημονεύει ὧν βούλεται ζώντων, καὶ τεθνεώτων.

Ὁ ἱερεύς.

Ἐκφώνως.

Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας.

Ὁ διάκονος μνημονεύει τὰ δίπτυχα τῶν κεκοιμημένων.

Ὁ δὲ ἱερεὺς ἐπεύχεται.

Τοῦ ἁγίου Ἰωάννου τοῦ προφήτου προδρόμου, καὶ Βαπτιστοῦ, τῶν ἁγίων ἐνδόξων, καὶ

والكاهن يصلي

لكي يكونا للمتناولين منهما لعفاف النفس . لمغفرة الخطايا . لشركة الروح القدس . لكمال ملكوت السموات . للدالة اليك . لا لمحاكمة او لدينونة

ايضاً نقرب لك هذه الذبيحة النطقية من اجل المتنيحين بامانة . الاجداد . والابا . وروسا الابا . والانبيا . والرسل . والواعظين . والمبشرين . والشهدا . والمعترفين . والنساك . وروح كل صديق توفّى على الامانة .

ثم ان الشماس يبخر حول المايدة المقدسة ويذكر الذين يشاهم من الاحيا والاموات

والكاهن يعلن


خاصةً ذات كل قداسة الطاهرة الفايقة البركات المجيدة سيدتنا والدة الاله الدايمة بكارتها مريم

Ἱερεὺς εὐλογῶν ἀμφότερα τὰ ἅγια. λέγει.

Μεταβαλὼν τῷ Πνεύματί σου τῷ ἁγίῳ, Ὁ διάκονος. Ἀμήν, ἀμήν, ἀμήν.

Καὶ τὴν κεφαλὴν ὑποκλίνας ὁ διάκονος τῷ ἱερεῖ· καὶ εἰπὼν τὸ, Μνήσθητί μου ἅγιε δέσποτα τοῦ ἁμαρτωλοῦ, Ἵσταται ἐν ᾧ πρότερον ἵστατο τόπῳ, καὶ λαβὼν τὸ ῥιπίδιον, ῥιπίζει τὰ ἅγια, ὡς καὶ τὸ πρότερον.

Ὁ ἱερεὺς ἐπεύχεται.



Ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν εἰς νῆψιν ψυχῆς, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ ἁγίου Πνεύματος, εἰς βασιλείας οὐρανῶν πλήρωμα, εἰς παῤῥησίαν τὴν πρὸς σὲ, μὴ εἰς κρῖμα, ἢ εἰς κατάκριμα. Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῶν ἐν πίστει ἀναπαυομένων, Προπατόρων, Πατέ-

والكاهن يبارك قايلًا

وما في هذه الكاس . فدم مسيحك المكرم .

والشماس امين

والشماس من جديد يشير بالزنار نحو القدسات كليهما قايلًا باركهما ياسيد كليهما

والكاهن يبارك الشكلين المقدسين كليهما قايلًا

ان انك نقلتهما بروحك القدوس

والشماس

امين امين امين

ثم ان يحني الشماس راسه للكاهن ويقول

اذكرني ايها السيد القديس انا الخاطي

ينتقل الى المكان الذي كان واقفًا فيه ويتناول المروحة ويرفرف على القدسات كما صنع قبلًا

τὸ πανάγιόν σου Πνεῦμα· στίχ. Καρδίαν καθαράν. Πάλιν τὸ αὐτό· στίχ. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου. Καὶ αὖθις τὸ αὐτό. Εἶτα τὴν κεφαλὴν ὑποκλίνας ὁ διάκονος, καὶ δεικνύων σὺν τῷ ὠραρίῳ τὸν ἅγιον ἄρτον, λέγει μυστικῶς. Εὐλόγησον Δέσποτα τὸν ἅγιον ἄρτον· καὶ ὁ ἱερεὺς ἀνιστάμενος, σφραγίζει τρὶς τὰ ἅγια δῶρα, λέγων.

Καὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον τίμιον σῶμα τοῦ Χριστοῦ σου· Ὁ διάκονος. Ἀμήν· Καὶ αὖθις ὁ αὐτός· Εὐλόγησον δέσποτα τὸ ἅγιον ποτήριον· καὶ ὁ ἱερεὺς εὐλογῶν λέγει.

Τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ, τίμιον αἷμα τοῦ Χριστοῦ σου. Ὁ διάκονος. Ἀμήν. Καὶ αὖθις ὁ διάκονος δεικνύων μετὰ τοῦ ὠραρίου ἀμφότερα τὰ ἅγια, λέγει. Εὐλόγησον δέσποτα τὰ ἀμφότερα. Ὁ δὲ

ستيخن

قلباً نقياً اخلق الخ

وتعاد ايضاً

يارب روحك

ستيخن

لا تطرحني من امام وجهك الخ

وتعاد ايضاً

يارب

ثم يحني الشماس راسه ويشير بالزنار نحو الخبز المقدس قايلًا سراً

بارك ياسيد هذا الخبز المقدس .

واذ ينتصب الكاهن يختم المواهب المقدسة شكل صليب ثلث مرات قايلًا

واصنع اما هذا الخبز فجسد مسيحك المكرم .

والشماس امين

ثم يردف هو نفسه قايلًا

بارك ياسيد هذه الكاس المقدسة

καὶ πάντων τῶν ὑπὲρ ἡμῶν γεγενημένων, τοῦ σταυροῦ, τοῦ τάφου, τῆς τριημέρου ἀναστάσεως, τῆς εἰς οὐρανοὺς ἀναβάσεως, τῆς ἐκ δεξιῶν καθέδρας, τῆς δευτέρας καὶ ἐνδόξου πάλιν παρουσίας.

Ἐκφώνησις.

Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέρομεν κατὰ πάντα, καὶ διὰ πάντα.

Ὁ ἱερεὺς ἐπεύχεται.

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην, καὶ ἀναίμακτον λατρείαν, καὶ παρακαλοῦμεν, καὶ δεόμεθα καὶ ἱκετεύομεν· κατάπεμψον τὸ Πνεῦμά σου τὸ ἅγιον ἐφ᾽ ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα.

Καὶ ὁ μὲν διάκονος ἀποτίθησι τὸ ῥιπίδιον, καὶ ἔρχεται ἐγγύτερον τῷ ἱερεῖ, καὶ προσκυνοῦσιν ἀμφότεροι τρὶς ἔμπροσθεν τῆς ἁγίας τραπέζης, εὐχόμενοι καθ᾽ ἑαυτούς, καὶ λέγοντες τὸ, Κύριε, ὁ

الصايرات من اجلنا . الصلب . والقبر. والقيامة فى اليوم الثالث . والصعود الى السموات . والجلوس من عن الميامن . والمجى الثانى المجيد ايضاً .

اعلان

فالتى لك من التى لك . نقدم لك عن كل شى . ومن اجل كل شى .

والكاهن يصلى

ايضاً نقرب لك هذه الذبيحة النطقية الغير الدموية . ونطلب ونتضرع ونسال . فارسل روحك القدوس علينا وعلى هذه المواهب الموضوعة .

واما الشماس فيضع المروحة ويدنو من قرب الكاهن ويسجدان كلاهما ثلث مرات امام المايدة المقدسة مصليين فى ذاتيهما وقايلين

يارب روحك الكلى قدسه الخ

Συνδεικνύει καὶ αὐτὸς τὸ ἅγιον ποτήριον,


Ὁ ἱερεὺς μυστικῶς.

Ὁμοίως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων.

يقول الكاهن اشربوا من هذا كلكم فيشير هو نحو الكاس المقدسة

والكاهن يقول سراً

ومثل ذلك الكاس بعد العشا قايلًا



Ἐκφώνησις.

ΠΙΕΤΕ ΕΞ ΑΥΤΟΥ ΠΑΝΤΕΣ, ΤΟΥΤΟ ΕΣΤΙ ΤΟ ΑΙΜΑ ΜΟΥ, ΤΟ ΤΗΣ ΚΑΙΝΗΣ ΔΙΑΘΗΚΗΣ, ΤΟ ΥΠΕΡ ΥΜΩΝ, ΚΑΙ ΠΟΛΛΩΝ ΕΚΧΥΝΟΜΕΝΟΝ ΕΙΣ ΑΦΕΣΙΝ ΑΜΑΡΤΙΩΝ.

Ὁ χορός. Ἀμήν.

Ὁ ἱερεὺς ἐπεύχεται.

Μεμνημένοι τοίνυν τῆς σωτηρίου ταύτης ἐντολῆς·

اعلان

اشربوا من هذا كلكم. هذا هو دمي العهد الجديد. الذى يهراق عنكم وعن كثيرين. لمغفرة الخطايا.


الخورص امين

والكاهن يصلي

ونحن اذاً متذكرون هذه الوصية الخلاصية. وجميع

χερσὶν, εὐχαριστήσας, καὶ εὐλογήσας, ἁγιάσας, κλάσας, ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς, καὶ ἀποστόλοις εἰπών.

خبزاً بيديه المقدستين الطاهرتين اللتين لا عيبَ فيهما . فشكر . وبارك . وقدس . وكسر . واعطى تلاميذه الرسل القديسين قايلًا .



Ἐκφώνησις.

ΛΑΒΕΤΕ, ΦΑΓΕΤΕ, ΤΟΥΤΟ ΜΟΥ ΕΣΤΙ ΤΟ ΣΩΜΑ, ΤΟ ΥΠΕΡ ΥΜΩΝ ΚΛΩΜΕΝΟΝ ΕΙΣ ΑΦΕΣΙΝ ΑΜΑΡΤΙΩΝ. Ὁ χορ. Ἀμήν.

اعلان

خذوا فكلوا هذا هو جسدى . الذى يُكسَر من اجلكم لمغفرة الخطايا .

والخورص امين

Τούτου δὲ λεγομένου, δεικνύει τῷ ἱερεῖ ὁ διάκονος τὸν ἅγιον δίσκον, κρατῶν καὶ τὸ ὡράριον τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς. Ὁμοίως καὶ ὅταν λέγει ὁ ἱερεὺς τὸ, Πίετε ἐξ αὐτοῦ πάντες.

وحينما يقال هذا من الكاهن فالشماس يشير الى الصينية المقدسة ضابطاً الزنار بثلثة اصابع يده اليمين + ومثل ذلك حينما

Ἐνταῦθα πάλιν λαβὼν ὁ διάκονος τὸν ἀστερίσκον ἐκ τοῦ ἁγίου δίσκου, ποιεῖ σταυροῦ τύπον ἐπάνω αὐτοῦ· καὶ ἀσπασάμενος αὐτὸν ἀποτίθησιν.

Ὁ δὲ ἱερεὺς ἐπεύχεται.

Μετὰ τούτων, καὶ ἡμεῖς τῶν μακαρίων δυνάμεων, Δέσποτα φιλάνθρωπε, βοῶμεν καὶ λέγομεν· ἅγιος εἶ, καὶ πανάγιος, σὺ, καὶ ὁ μονογενής σου Υἱὸς, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον· ἅγιος εἶ, καὶ πανάγιος, καὶ μεγαλοπρεπὴς ἡ δόξα σου, ὃς τὸν κόσμον σου οὕτως ἠγάπησας, ὥστε τὸν μονογενῆ σου Υἱὸν δοῦναι, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν, μὴ ἀπόληται, ἀλλ᾽ ἔχῃ ζωὴν αἰώνιον· ὃς ἐλθὼν, καὶ πᾶσαν τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πληρώσας τῇ νυκτὶ, ᾗ παρεδίδοτο, μᾶλλον δὲ ἑαυτὸν παρεδίδου ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐν ταῖς ἁγίαις αὐτοῦ, καὶ ἀχράντοις, καὶ ἀμωμήτοις

اعلان

مرتلين تسبيح الظفر هاتفين وصارخين وقايلين .

والشماس حينيذٍ يرفع النجم من الصينية المقدسة ويعمل به رسم صليب فوقها ويقبله ويضعه جانبًا

الكاهن يصلي

فمع هولاء القوات الطوباويين ايها السيد المحب البشر نحن ايضاً نهتف ونقول . قدوس انت وكلي القدس . انت وابنك الوحيد وروحك القدوس . قدوس انت وكلي القداسة . وعظيم هو مجدك . انت الذى احببت عالمك هكذا . حتى انك اعطيت ابنك الوحيد . لكيلا يهلك كل من يومن به . بل تكون له الحيوة الابدية . ذاك الذى اذ اتى واكمل من اجلنا كل التدبير . ففى الليلة التى اسلم فيها . وبالحرى اسلم ذاته من اجل حيوة العالم . اخذ

μονογενής σου Υἱὸς, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον. Σὺ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παρήγαγες· καὶ παραπεσόντας ἀνέστησας πάλιν· καὶ οὐκ ἀπέστης πάντα ποιῶν, ἕως ἡμᾶς εἰς τὸν οὐρανὸν ἀνήγαγες, καὶ τὴν βασιλείαν σου ἐχαρίσω τὴν μέλλουσαν. Ὑπὲρ τούτων ἁπάντων εὐχαριστοῦμέν σοι, καὶ τῷ μονογενεῖ σου Υἱῷ, καὶ τῷ Πνεύματί σου τῷ ἁγίῳ, ὑπὲρ πάντων, ὧν ἴσμεν, καὶ ὧν οὐκ ἴσμεν, τῶν φανερῶν, καὶ ἀφανῶν εὐεργεσιῶν τῶν εἰς ἡμᾶς γεγενημένων. Εὐχαριστοῦμέν σοι καὶ ὑπὲρ τῆς λειτουργίας ταύτης ἣν ἐκ τῶν χειρῶν ἡμῶν δέξασθαι κατηξίωσας· καίτοι σοι παρεστήκασι χιλιάδες Ἀρχαγγέλων, καὶ μυριάδες Ἀγγέλων, τὰ Χερουβὶμ, καὶ τὰ Σεραφὶμ, ἑξαπτέρυγα, πολυόμματα, μετάρσια, πτερωτά.

Ἐκφώνησις.

ὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα, καὶ λέγοντα.

